I
00100

ARISTOTELIS

Opera.

Historia et Cau

Poetica — et Rhetorica

(et alia Theophrasti

graece

IV

BIBLIOTECA
DE LA
UNIVERSIDAD DE SALAMANCA.
Sala Est. Tab. Núm.

I
00100

b18630522

Theophrastus

2 – 13 – 7 – 10

~~Num. 38. Cap. 4. num. 28.~~

Τῶν ἐν τῇδε τῇ βίβλῳ περιεχομένων ὀνόματα καὶ τάξις.

Θεοφράστου περὶ φυτῶν ἱστορίας.	βιβλία δέκα.
Τοῦ αὐτοῦ περὶ φυτῶν αἰτιῶν.	βιβλία ἕξ.
Ἀριστοτέλους προβλημάτων.	τμήματα τοῦ ξ καὶ ο καὶ τῶ.
Ἀλεξάνδρου ἀφροδισιέως προβλημάτων.	βιβλία δύο.
Ἀριστοτέλους μηχανικῶν.	βιβλίον ἕν.
Τὰ αὐτοῦ τὰ μετὰ τὰ φυσικά.	βιβλία δεκατέσσαρα.
Θεοφράστου τὰ μετὰ τὰ φυσικά.	βιβλίον ἕν.

Eorum quæ in hoc libro continentur, nomina & ordo.

Theophrasti de historia plantarum,	libri decem.
Eiusdem de causis plantarum,	libri sex.
Aristótelis problematum,	sectiones duo de quadraginta.
Alexandri aphrodisiensis problematum,	libri duo.
Aristótelis mechanicorum,	liber unus.
Eiusdem metaphysicorum,	libri quatuordecim.
Theophrasti metaphysicorum,	liber unus.

✝

¶Plato philosophus interrogatus Albẽrte Princeps Illu. πῶς ἂν ἄριστα οἰκοῖντο αἱ πόλεις, respõdit, ἐὰν οἱ φιλόσοφοι βασιλεύσωσιν, ἢ οἱ βασιλεῖς φιλοσοφήσωσιν uerum ac sapiens responsum, & Platone dignum principe Academicorũ. Optime.n. gubernarentur resp. si aut philosophi regnarent, aut principes philosopharentur. non tot rapinas. tot cædes. nõ fœdissimam, tetrámq; luxuriem. non cætera nefanda flagitia impune aspiceremus. Nec dubito, qn cum dico philosophos, eos intelligas, qui sancte, qui uere, qui integerrime, ut tu facis, philosophantur. non quosdam indoctos primum, hinc prauos & hæreticos, ac potius nulli addictos religioni, qui nomine tãtum sunt, nõ etiam re philosophi, quiq; de uirtute locuti. at cætera nõ nobis, sed satyro liceant. nec mirũ tales ex pecudum magis, q̃ ex hominum genere, non posse candidas disciplinas, aureamq; uirtutem attingere. Μὴ καθαρῷ γὰρ μιαρὸς ἐφάπτεσθαι, οὐ χ θεμιτόν. ut ait Plato. Cum tu igitur Princeps unus ex paucis, quos æquus amauit Iupiter, acerrime philosopheris, hos etiã de philosophia libros in tuo nomine publicare cõstitui. hoc est Theophrasti. περὶ φυτῶν ἱστορίας. libros nouem. nam decimi per pauca quædã, ut erant in exemplaribus, imprimenda iussimus, reliqua uel non extant, uel in nono (ut ibi etiã diximus) cõfusa, & immista sunt. Eiusdem περὶ φυτῶν αἰτιῶν libros sex. hinc & Aristótelis & Alexãdri Aphrodisiẽsis problemata. Sequũtur déinde Aristótelis, μηχανικά. Eiusdémq; Τῶν μετὰ τὰ φυσικά. quatuordecim libri. & postremo opusculum περὶ μετὰ τὰ φυσικά. Theophrasti. Quibus imprimendis ea usus sum cura, ut sicui alius atq; ego feci, cõstituẽdus ordo uidebitur, facile id queat pro arbitrio suo. Quare autem nos hoc ordine usi sumus, alibi cognosces. Illud certo scias cũ cæteris studiosis, oía à nobis in dura hac, & sumptuosa prouincia fieri accuratissime. Quod si cubi non factum uidebitur, quod quædã dari meliora potuerint, uidete ne sitis ígrati, cũ nocte, diéq;, uel supra uires uobis laborẽ. quod tamẽ facio per libẽter. nec ab incoepto unq̃ desistã, nisi effecero quod sum pollicitus. nullis profecto parcam sumptibus q̃uis magnis. paruifaciã labores omnis, etiã si in uoluptate uiuere, & in ocio esse semper possim. Es.n. tu mihi optimus testis, an potiores Herculis erumnas credam, sæuósq; labores, & uenere, & coenis, & plumis Sardana palli. Natus.n. hó est ad laborẽ, & ad agẽdum sẽ per aliquid uiro dignum. non ad uoluptatẽ, quæ beluarum est, ac pecudũ. Optime tu igitur Princeps Herculem Iouis satu editum imitaris, qui cum primum pubesceret, quod tempus à natura ad deligendum quã quisq; uiã sit ingressurus, datum est, duas cernẽs uias, unam uirtutis, alteram uoluptatis, uirtutis ígressus est uiã. Quare perge tu philosophari, ut coepisti. sisq; exẽplo cæteris. ὡς φιλοσοφούντων τῶν βασιλέων, ἄριστα ἂν οἰκοῖντο αἱ πόλεις. Ἔρρωσο.

ΘΕΟΦΡΑΣΤΟΥ ΓΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ ΤΟ Α

ΤΩΝ φυτῶν τὰς διαφορὰς καὶ πῶς ἁπλῶς φύσιν λαπτέον, καὶ τίνα τὰ μέρη, καὶ τὰ πάθη, καὶ τὰς γενέσεις, καὶ τοὺς βίους. ἔθη γὰρ καὶ πράξεις οὐκ ἔχουσιν ὡς πρὸς τὰ ζῶα. εἰσὶ δὲ καὶ μέρη καὶ τὰ τῶν γενέσεων καὶ τὰ τῶν παθῶν καὶ τοὺς βίους, λέγω δὲ τὸ τραχὺ καὶ ἁπλοῦν. εἰσὶ δὲ καὶ τοῦ μέρη, πολλὰ οὐσῶν ἐχόντων τρόπον τινὰ διαίρεσιν. αὐτὸ γοῦν τὸ πρῶτον οὐχ ἁπλῶς ἀφώρισται, τὸ, πρῖνος δὲ μέρη, καὶ μὴ μέρη καλῶ· ἀλλ' ἔχει τινὰ ἀπορίαν. τὸ μὲν γὰρ μέρος, ὅτι ἐκ διάφορα φύσεως ὄν, ἀεὶ δοκεῖ διαμένειν ἀπλῶς ἢ ὅταν γένηται. καθάπερ ἐν τοῖς ζώοις τὸ ὕστερον γενόμενον μέρος· πολλῶν δὲ τινὰ καὶ πόσον ἢ σὴρ ἢ πάρωσιν ἀπολαμβάνει. τὰ δὲν τοῖς φυτοῖς σχεδὸν ἀριθμῶν ἐστιν, ὥστε πίτυον μὲν ἔχειν τὸν ὀσίαν· οἷον καύθος, βρύον, φύλλα, καρπόν· ἀπλῶς ὅσα πρὸ τῶν καρπῶν, ἢ ἅμα γίνεται τοῖς καρποῖς· ἔτι δὲ καὶ τοὺς ὀβλαστούς· ἀεὶ γὰρ ἐν τῇ φύσει λαμβάνεται δύναμιν καὶ τινα λόγον, ὁμοίως δέ τι τοῖς ἀνωμαλείαν τοῖς στελέχεσι τὰ σείζας· ὡς τι καὶ μόριον τῶν παθῶν μέρη, τὸ, τι πολύθυρσα ὄντα ἔχειν, μὴ δὲ πυκνὰ δὲν τὸ αὐτὸ τῶν μορίων· εἰ δὲ μὴ μέρη, συμβαίνοι δ' ἂν τὰ λεῖα γίνεσθαι φαίνεται, διὰ τὸ μὴ εἶναι μέρη· βλαστάνοντα γὰρ καὶ θάλλοντα ἔχειν τὸν καρπὸν ἔχοντα, ὥσπερ καὶ καλλίω καὶ τελειότερα καὶ δυνατώτερα ὄντα. αἱ μὲν οὖν ἀπορίαι σχεδόν εἰσιν αὗται· τάχα δὲ οὐχ ὁμοίως

ἀπαιτοῦντα ζητητέον, οὔτε ἐν τοῖς ἄλλοις οὐθὲν ἅπτεται τῶν ἡμέτερων· αὐτάρκη τὰ ἡμῶν μόρια, μέρη θητέον· οἷον τοὺς καρποὺς· οὐδὲ γὰρ τὰ ἔμβρυα, τῶν ζώων· εἰδὲ τῇ ὥρᾳ, ὀφθὲν μᾶλλον ἂν δόξειε σημεῖον· ἐπεὶ καὶ τῶν ζώων μάλιστα τὰ μέρη καθ' αὑτὰ μόνα καθάπερ οἱ τέττιγες τὰ κέρατα, καὶ τὰ φωλεύοντα τὰ πέρα καὶ τρίχας τετράποδα· ὥστ' οὐδὲν ἄτοπον· ἀλλ' οὔτε ὅμοιον τῷ φυλοξοεῖν τὸ πάθος· ὡσαύτως δ' οὐδὲ τὰ πρὸς τὴν ὑγίειαν· ἐπεὶ καὶ ἐν τοῖς ζώοις τὰ μὲν σώματα τίκτεται, τὰ δ' ἄπο καθαίρεται καθάπερ ἀλόξια φλοιοῦ φύσεως· ἔοικε δὲ πέρατα πλησίον καὶ τὰ περὶ τὴν βλάστησιν ἔχειν· ἡ γὰρ ὑγίεια ὑγιείας, ὑγιείας χάρις· ὁδὶ φλοιὸς ἀλόξια· ὅλως δὲ καθάπερ εἰπομεν, οὐδὲ πάντα ὁμοίως ἐστὶ τῶν ζώων λεπτέον· διὸ καὶ ἀριθμὸς ἄπειρος· πάντα γὰρ βλαστικόν, ἅττα καὶ πάσχει τι ἀπὸ ζώου· ὥστε ταῦτα μὲν οὕτως οὐ πολυπτέον οὐ μόνον εἰς τανῦν, ἀλλὰ καὶ τῶν μελλόντων χάριν· ὅσα γὰρ μὴ οἷόν τε ἀφομοιοῦν, περὶ ἀρχὴν τὸ λίχαζ πάντως· ἵνα μὴ καὶ τὴν οἰκείαν ἀποβάλωμεν θεωρίαν· ἡδὶ ἰσοτέλεια τῶν φυτῶν ὅτι ὡς ἁπλῶς εἰπεῖν, ἡ κατὰ τὰ ἐξωμόρια καὶ τὴν ὁλομορφὴν, ἡ κατὰ τὰ ἐντός· ὥσπερ ὧν τῶν ζώων τὰ ἐκτὸς ἀνάπαλιν· λεπτέον δ' ἐναὐτοῖς, ποῖά τινα πάσχει ταῦτα, ἢ ποῖα ἴδια καὶ θ' ἕκαστον γένος· ἔτι δὲ τῶν αὐτῶν, ποῖα ὅμοια· λέγω δ' ἴδιον, φύλλον, ἔλυτρον, φλοιόν· οὐδὲ δὲ τὰ φυλλάνθη φύλλα, εἴτε καὶ τὴν αἰτίαν θεωρητέον, ὥσπερ ἐπὶ τῶν ζώων τὴν ἀναφορὰν ποιούμεθα, δηλονότι πρὸς τὰ ἐμφρέοντα καὶ τὰ λειότατα· καὶ ἁπλῶς δὲ ὅσα τῶν ἐν φυτοῖς ἀφομοιωτέον τῶν ἐν τοῖς ζώοις, ὡσαύτως ἀφομοιοῖ· ταῦτα μὲν οὖν διαιρεθήτω τὸν τρόπον τοῦτον· Αἱ δὲ τῶν μορίων διαφοραὶ χρόνου ὡς τύπῳ λαβεῖν εἰσὶν ἐν τρισίν· ἢ τῷ τὰ μὲν, ἔχειν, τὰ δὲ, μὴ, καθάπερ φύλλα· καὶ καρπόν· ἢ τῷ μὴ ὅμοια μὴ ἴσα, ἢ ξύλον, τῷ μὴ ὁμοίως· τούτων δὴ μᾶλλον ἀνομοιότης δεῖ ζητεῖσθαι

χήματι. χρώματι. πυκνότητι, μανότητι, παχύτητι. λεπτότητι, καὶ τοῖς ἄλλοις παθήσιν. ἔτι δὲ ὅσαι διαφοραὶ τ̃ῶν χυλῶν. ἡδὺ ὀξὺ στόμαχον ὑπερέχει καὶ ἐλλείπει καὶ τὸ πλ̃ῆθος. ἢ μέγεθος. ὡς δ' εἰπεῖν τύπῳ καὶ κεῖνα πάντα καθ' ὑπεροχὴν καὶ ἔλλειψιν. τὸ γὰρ μᾶλλον καὶ ἧττον, ὑπεροχὴ καὶ ἔλλειψίς. τὸ δὲ μὴ ὁμοίως, τ̃ῇ θέσει διαφέρει. λέγω δὲ, οἷον τὸ τοὺς καρποὺς τὰ μὲν ἐπάνω. τὰ δ' ὑποκάτω τ̃ῶν φύλλων ἔχειν, καὶ αὖ τοῦ τὰ μὲν δένδρου, τὰ μὲν ἐξ ἄκρου, τὰ δὲ ἐκ τ̃ῶν πλαγίων, ἔνια δὲ καὶ ἐκ τοῦ στελέχους. οἷον ἡ αἰγυπτία συκάμινος. καὶ ὅσα δὴ καὶ ὑπὸ γ̃ῆς φέρει καρπὸν, οἷον, ἥ τε ἀρὰχίδνα. καὶ τὸ ἀπὶ αἰγυπτίῳ καλούμενον οὐίγγον. καὶ εἰ τὰ μὲν ἔχει μίσχον. τὰ δὲ μή. καὶ ὧν τ̃ῶν αὐθέων ὁμοίως. τὰ μὲν γὰρ περὶ αὐτὸν τὸν καρπὸν, τὰ δὲ, ἄλλως. ὅλως δὲ τὸ τ̃ῆς θέσεως, ἐν τούτοις καὶ τοῖς φύλλοις καὶ ἐν τοῖς βλαστοῖς λεπτέον. διαφέρει δὲ ἔνια καὶ τ̃ῇ λάξει. τὰ μὲν γὰρ ἔστι τοῦ χεῖλος ἐλάττης, οἱ κλῶνες καὶ τὰ φύλλους ἐκατέρωθεν. τ̃ῶν δὲ καὶ οἱ ὄζοι δίστιχοι τὴν κατ' ἀριθμὸν ἴσοι. καθάπερ τ̃ῶν τριόζων ὥστε καὶ τὰς μὲν διαφορὰς ἐκ τούτων λεπτέον, ἐξ ὧν καὶ ὅλη μορφὴ συνίσταται. καθ' ἕκαστα. αὐτὰ δὲ δὴ τὰ μέρη διαιρεθήσεται μόνα. πειρατέον περὶ ἑκάστου λέγειν. ὅσα δὲ τοιαῦτα μὴ ἁπλᾶ μίγνυται καὶ κοινὰ τ̃ῶν πλείστων, τάδε. ῥίζα. καυλὸς ἀκρέμων. κλάδος. εἰς ἃ δὲ λύεται ἅπαντα ὡς περ εἰς μέρη καθάπερ ἐπὶ τ̃ῶν ζώων. ἕκαστόν τε γὰρ ἀνόμοιον, καὶ ἐξ ἀνομοίων τούτων τὸ ὅλον. ὅτι δὲ εἴζα μὲν, ἐν οἷς τὸ τροφὴν ἐπάγεται, καυλὸς δὲ εἰς ὃ φέρεται. καυλὸν δὲ λέγω, τὸ ὑπὲρ γ̃ῆς πεφυκὸς ὑφ' ἓν. τοῦτο γὰρ κοινόν τι τὸν ὁμοίως ἐπὶ τετίοις καὶ χερνίοις, ὃ ἐπὶ τ̃ῶν δένδρων καλεῖται στέλεχος. ἀκρέμονας δὲ, τοὺς ἀπὸ τούτου χλοώδους, οὓς ἔνιοι καλοῦσιν ὄζους. κλάδον δὲ, τὸ βλάστημα, τὸ ἐκ τούτων ὑφ' ἓν. οἷον μάλιστα τὸ ἐπέτειον. καὶ ταῦτα μὲν οἰκεότερα τ̃ῶν δένδρων. ὁ δὲ καυλὸς ὡς περ εἴρηται κοινότερος. ἔχει δ' οὐ πάντα δ' οὐδὲ τοῦχον οἷον ἔνια τ̃ῶν ποωδ̃ῶν. τὰ μὲν, ἔχει μ̃

οὐκ ἀεὶ δὲ ἀλλ' ἐπέλθον, καὶ ὅσα χρονιώτερον ταῖς ξύλαις· ὅλης δὲ πολύχουν τὸ τῶν φυτῶν καὶ ποικίλων· καὶ χαλεπὴν εἰπεῖν καθόλου σημεῖον δὲ τὸ μηδὲν εἶναι κοινὸν λαβεῖν, ὃ πᾶσιν ὑπάρχει· καθάπερ τοῖς ζώοις σῶμα καὶ κοιλία· τὰ δ' αἱ κλοίαι ταῦτα· τὰ δ' ἄλλ' ἔξοπλ. ὅτι μὲν ξύλαν πάντ' ἔχει· ὅτι καὶ ἀκέφαλον· οὐτε κλάδ. οὐτε φύλλ. οὔτε ἄνθος· οὐτε καρπὸν· οὔτε οἷον φλοιὸν, ἢ μήλαν· ἢ ἴνας· ἢ φλέβας· οἷον μύκης· οἶδνον· ἐν τούτοις δὲ ἡ οὐσία καὶ ἐν τοῖς τοιούτοις, ἀλλὰ μᾶλλον ταῦτα ὑπάρχει καθάπερ εἴρηται τοῖς δένδροις κἀκείνων οἰκεότερος ὁμοίως θ'. πρὸς δὲ καὶ τὴν διαφορὰν τῶν ἄλλων ποιεῖται δικαίως. δεῖ δὲ καὶ τὰς ἄλλας μορφὰς ἑκάστων λαμβάνειν· διαφέρουσι γὰρ πολλὴν τῷ τοιούτων· καὶ ὀλιγότητι· καὶ πυκνότητι καὶ μανότητι, καὶ τὸ ἐφ' ἑνὸς, ἢ εἰς πολλὰ χρῆσθαι τοῖς ἄλλοις τοῖς ὁμοίοις, ὅτι δ' ἕκαστον τῶν εἰρημένων οὐχ ὁμοιομερές· λέγω δὲ ὁμοιομερὲς, ὅτι ἐκ τῶν αὐτῶν ὁτιοῦν μέρος σύγκειται φλοιὸς καὶ τὸ ξύλον καὶ τὸ φύλλον· ἀλλ' οὐ λέγεται τέλειος τὸ λαφθὲν, ἀλλὰ μόριον, ὡς αὐτάρκης τῶν ζώων μέλεσίν ἐστιν· ἐκ τῶν μὴ ὁτιοῦν σπέρμα καὶ ἀκωνος, οὐχ ὁμώνυμον ἐστὶ, καθάπερ σὰρξ καὶ ὀστοῦν· ἀλλ' ἀνώνυμον· οὐδὲ δὴ τῶν ἄλλων, οὐδενὸς, ὅσα μονοειδῆ τὴν ὀργανικὴν ἔχει· ἄτομα γὰρ τῶν τοιούτων, ἀνώνυμα τὰ μέρη, τὰ δὲ πολυειδῶν ὠνόμασται μία, καθάπερ χειρὸς, κεφαλῆς· οἷον δάκτυλος, ἰὶς, ὀφθαλμός· καὶ τὰ μὴ μέγιστα μέρη σχεδὸν ταῦτά ἐστιν, ἀλλὰ δὲ ἐξ ὧν ταῦτα φλοιὸς, μήλα· ξύλα, ἢ ὅσα ἔχει μήλαν, ταῦτα δὲ ὁμοιομερῆ, καὶ τὰ τούτων δὲ ἔτι πρότερα, καὶ ἐξ ὧν ταῦτα γραῦν· ἶς φλοιὸς· σὰρξ· ἆρ' οὖν γὰρ αὗται, πλὴν ἔστιν λέγοι τὰς τῶν σοι χείων δυνάμεις, αὗται δὲ κοιναὶ πάντων· ἢ μὲν οὖν σωματικὴ καὶ ἡ ὅλη φύσις ἐν τούτοις· ἄλλα δ' ἐστὶν, ὥσπερ ἐπέτεια μέρη τὰ πρὸς τὴν καρποτοκίαν· οἷον, φύλλον, ἄνθος· μίσχος· τοῦτο δ' ἐστὶν ᾧ συνήρτηται πρὸς τὸ φυτὸν τὸ φύλλον καὶ ὁ καρπὸς· ἔτι δὲ ἔλιξ, βρύον· οἷς ὑπάρχει· καὶ ἐπὶ πᾶσι

σπέρμα

σι σπέρμα τὸ τοῦ καρποῦ· καρπὸς δ' ἐστὶ τὸ συγκείμενον σπέρμ̃
με τοῦ τοῦ περικαρπίου· παρὰ δὲ ταῦτα ἐνίοτε ἴδια ἄπαντα· κα-
θάπερ ἡ κισσὸς δρυοφ· καὶ ἡ ἕλιξ ἀμπέλῳ· ἢ τοῖς μὴ δένδρε
σίν ἐστιν ὅταν δὲ λαβεῖν· τοῖς δ' ἐστὶ τέτοις, δῆλον ὡς ἄπαντα τα
ὐτὰ ἔχει· μέχρι γὰρ τ̃ καρπῶν ἡ φύσις· ὅσα δὲ ἐστὶ τέτοια καρ-
πὸν ἢ ὅσα δὲ τίζῃ καθάπερ σέλινον ἢ ἄμ' ἄπαντα, ἃ ὅσα μὴ τελείω
χρόνον ἔχει, τούτοις ἅπασιν ἢ ὁ καυλὸς ἀκολουθήσει καὶ τὸ
λόβον· ὅταν γὰρ σπερμοφορεῖν μέλλωσι, τότε ἐγκαυλοῦσιν· ὡς
ἕνεκα τοῦ σπέρματος ὄντων τ̃ καυλῶν· ταῦτα μὲν οὖν τοῦτον
διῃρήσθω· τ̃ δὲ ἄρτι εἰρημένων μερῶν πειρατέον ἕκαστον εἰ-
πεῖν τίνων· ὡς ἐν τύπῳ λέγωμεν· τὸ μὲν οὖν ὑγρὸν φανερόν
ὁ δὴ καλοῦσί τινες ἁπλῶς ἐν ἅπασι ὀπόν· ὥσπερ ἐν Μενέσωρ
οἶδε μὲν τοῖς ἄλλοις ἀνωνύμως, ἐν δέ τισιν ὀπόν· καὶ ἐν ἄλλοις
δάκρυον· ἔνιοις δὲ καὶ φλέβες καθ' αὐτὰ γί' ἀνώνυμα, τῇ δὲ ὁ-
μοιότητι μεταλαμβάνουσι, τ̃ ἐν τοῖς ζώοις μορίων· ἔχει δ' ἴσως
καὶ ἄλλας διαφορὰς καὶ ταῦτα· καὶ ὅλως τὸ τ̃ φυτ̃ χυ· πο·
λύχουν γί ὡς ὥσπερ εἰρήκαμεν· ἀλλ' ἐπεὶ διὰ τ̃ γωρίμων μετα
βώκειν δεῖ τὰ ἀγωρίστως γωριμώτερα δὲ τὰ μείζωνι ἐμφα-
νῆ τῇ αἰσθήσει δῆλον ὅτι, καθάπερ ὑφήγηται, περὶ τούτων λε
κτέον· ἔστω δ' ἀφορμὴ γί ἔξω μὲν τ̃ ἄλλων πρὸς ταῦτα· μέχρι
πόσου δὴ ὥστε ἕκαστα μετέχειν φ ὁμοιότητος· εἰλημμένων δ' τ̃
μερῶν, μετὰ ταῦτα λητέον τὰς τούτων διαφοράς· οὕτω γὰρ
ἄμεινον ἡ οὐσία φανερὰ ἢ ὅλη τ̃ γενῶν πρὸς ἄλληλα διάστα-
σις· ἡ μὲν οὖν τ̃ μειζόνων χρεὼν εἴρηται· λέγω δ' οἷον ξύλης, καυ
λοῦ, τῶν ἄλλων· αἱ γὰρ δυνάμεις ἕνεκ' ὧν χάριν ἕκαστον· ὕστερον ἐπι
σκεπτέον ταῦτα· ἐξ ὧν γὰρ ἢ ταῦτα καὶ τἆλλα συνίσταται, πειρατέον
εἰπεῖν ἀρξαμένους ἀπὸ τ̃ πρώτων· πρῶτα δ' ἐστὶ τὸ ὑγρὸν καὶ
θερμόν· ἅπαν γὰρ φυτὸν ἔχει τινὰ ὑγρότητα ἢ θερμότητα· σύμφυτον, ὡσπερ καὶ ζῷον· ὧν ὑπολειπόντων γίνεται ἢ πρᾶσις ἢ
φθίσις· τελέως δὲ ὑπολιπόντων, θάνατος· ἢ οὐδὲν οὐσίσι ἐν μὲν ἂν

τοῖς πρώτοις ἀνώνυμος ἡ ὑγρότης· ἐν ἐνίοις δ' ὠνόμασται μόνη καθάπερ εἴρηται, τὸ αὐτὸ δ' ἐστὶ τοῦτο καὶ ἐπὶ τῶν ζώων ὑπάρχει μόνη γὰρ ἡ τῶν αἱμάτων ὑγρότης ὠνόμασται· διὸ καὶ δύσηκτα πρὸς τὸ στερῆσαι, τὰ μὲν γὰρ ἄναιμα· τὰ δ' ἔναιμα λέγεται· ἔστι μὲν οὖν τοῦτο τὸ μέρος καὶ τὸ τοιοῦτον σωματικὸν μόριον θερμόν· ἄλλαι δ' εἰσὶ τέτταρες τῶν ἐν τοῖς ἀκαθάρτοις τὰ μὲν ὀστᾶ ἀνώνυμα· διὰ δὲ τὴν ὁμοιότητα τὴν ἀπεικάζεται τοῖς τῶν ζώων μορίοις· ἔχουσι γὰρ ὥσπερ ἶνας· ὅθεν σωληνώδη καὶ χιτῶνα καὶ ἐπιμήκεις· ἀπαράβλητον δὲ καὶ ἄβλαστον ἔχουσι φλέβας· αὗται δὲ τὰ μὲν ἀλλαντοειδῆ ὁμοίαν τὴν ἰνί· μείζους δὲ ἢ παχύτεραι· ἢ παραβλαστὰς ἔχουσαι καὶ ὑγρότητας· ἔτι ξύλον καὶ σάρκα· τὰ μὲν γὰρ ἔχει σάρκα, τὰ δὲ ξύλον· ὅθεν δὲ τὸ μὲν ξύλον, χιτών· ἡ δὲ σὰρξ, σπέρμα τῆς διαιρέσεως· ὥσπερ ἐπὶ καὶ ὅσα ζῷα· μεταξὺ δὲ γίνεταί νός ἢ φλεβός, φανερὰ δὲ ἡ φύσις αἱ φλὶ ἐν ἄλμοις τισὶ καὶ ἐν τοῖς τῶν ὠτὶ καρπίων θέρμασι· φλοιὸς δὲ καὶ μήκα· κυρίως μὲν λέγεται· δεῖ δὲ αὐτὸ καὶ τῷ λόγῳ διορίσαι· φλοιὸς μὲν οὖν ὅθεν τὸ ἔξωθεν καὶ χωρισὸν τοῦ ὑποκειμένου σώματος· μήτρα δὲ· τὸ μεταξὺ τοῦ ξύλου πρίτον ἀπὸ τοῦ φλοιοῦ· οἷον ἐν τοῖς ὀστοῖς μυελός· καλοῦσι δέ τινες τοῦτο καρδίαν· οἱ δὲ, μυελόν· τὰ μὲν οὖν μόρια χεῖρον ὅθεν τοσοῦτον συγκείσθαι δὲ ταῦτα ἐκ τῶν προτέρων· ξύλον μὲν ὀστοῦ ἰνὸς καὶ ὑγροῦ· καὶ ἔνια σαρκός· ξυλοῦται γὰρ σκληρυνόμενα οἷον ἐν ῥῖς φοίνιξι, καὶ νάρθηξι καὶ ἔτι ἄλλα ἐκξυλοῦται· ὥσπερ αἱ τῶν ῥαφανίδων ῥίζαι· μήκη δὲ ὀστοῦ καὶ σαρκὸς φλοιὸς δ' ὁ μὲν τις ἐκ φύντων τῶν ζῳῶν· οἷον ὁ φλοιὸς ὁ ἀμπέλου, ὀστοῦ καὶ ἰνὸς· ὁ δὲ τῆς φύλλου, ἐκ σαρκὸς καὶ ὑγροῦ· πάλιν δὲ ἐκ τούτων συνέστηκε τὰ μέσα καὶ πρῶτα ῥηθέντα, καθάπερ καὶ ἐμέλη, πάλιν οὐκ ἐκ τῶν αὐτῶν πάντα· οὐ δὲ ὡσαύτως· ἀλλὰ διαφόρως· εἰλημμένων δὲ πάντων τῶν μορίων ὡς εἰπεῖν, τοὺς τούτων διαφο-

ρὰς,

ρας πειρατέον ἀποδιδόναι καὶ τὰς ὅλων τῶν δένδρων καὶ φυτῶν οὐσίας. ἐπεὶ δὲ συμβαίνει σαφέστερον εἶναι τῶν μαθημάτων τὰ αἱρουμένων καὶ τὰ εἴδη καλῶς ἔχει τοῦτο ποιεῖν. ἐφ' ὧν γὰρ ἔχεται πρῶτα δ' ὅτι καὶ μέγιστα καὶ σχεδὸν ὑφ' ὧν πάντα τὰ τελεῖται, περιέχεται τάδε. δένδρον θάμνος. φρύγανον. πόα. δένδρον μὲν οὖν ὅτι τὸ ἀπὸ ῥίζης μονοστέλεχες πολύκλαδον ὀζωτὸν οὐκ ὠκτόλυγον οἷον ἐλάα. συκῆ. ἄμπελος. φρύγανον δέ, τὸ ἀπὸ ῥίζης καὶ πολυστέλεχες καὶ πολύκλαδον οἷον, μάτος. πελίουρος. πόα δὲ τὸ ἀπὸ ῥίζης φυλλοφόρου προϊὸν ἀστέλεχες. οἷόν κανλὸς ὡρμοφόρον οἷον, ὁ σῖτος. καὶ τὰ λάχανα. δεῖ δὲ τοὺς ὅρους οὕτως ἀποδέχεσθαι καὶ λαμβάνειν ὡς τύπῳ ὥστε ἐστὶ τὸ πᾶν λεγόμενος. ἔνια γὰρ ἴσως ἐπαλάπτειν δόξειε. τὰ δὲ, καὶ παρὰ τὸν αἰτιολογοῦμενον καὶ ἐκβαίνειν τῆς φύσεως. οἷον, μαλάχη εἰς ὕψος αὐξανομένη καὶ ὑπολιγνουμένη. συμβαίνει γὰρ τοῦτο μὴ οὐκ ἐν πολλῷ χρόνῳ. ἀλλ' ἐν ἐξ ἢ ἑπτὰ μησίν, ὥστε μῆκος καὶ πάχος δραχταῖον γίνεσθαι. διὸ καὶ βακτηρίαις αὐτῇς χρῶνται. πλείονος δὲ χρόνου γινομένου, καὶ τὸ λόγῳ ἡ ἀπόδοσις. ὁμοίως δὲ καὶ ἐπὶ τῶν τύτλων. καὶ γὰρ ταῦτα λαμβάνει μέγεθος. ἔτι δὲ μᾶλλον ἄγνος καὶ ὁ πελίουρος καὶ ὁ κιττός. ὥστε ὁμολογουμένως ταῦτα γίνεται δένδρα. καίριθαμνώδη ἐστίν, ὁ δὲ μύρρινος μὴ ἀναπαθαιρόμενος ἐκθαμνῶται. καὶ ἡράκλεωτικὴ καρύα. δοκεῖ δὲ αὕτη καὶ τὸν καρπὸν βελτίω καὶ πλείω φέρειν ἐὰν ῥάβδους τὰς ἐκ πλείους, ὡς τῆς φύσεως θαμνώδους οὔσης ἡ μονοστέλεχες δ' ἂν δόξειεν ἴδιον μηλέα δ' ἡ ῥοιὰ ἄτοπος εἶναι. ἴδιον ὅλως ὅσα παραβλαστεῖ καὶ ἀπὸ τῶν ῥιζῶν. ἄλλα τῇ ἀγωγῇ. τοιαῦτα. παραιρουμένων τῶν ἄλλων. ἔνια δὲ καὶ ἐῶσι πολυστελεχῆ δι' ἃ λεπτότητα. καθάπερ ῥόαν. μηλέαν. ἐῶσι δὲ καὶ τὰς ἐλάας. κοπάδας. καὶ τὰς συκᾶς. λάχανα δ' ἔντις φαίη, καὶ ὅλως μεθεῖναι καὶ μικρότητι διαιρεῖν ἔνια. τὰ δὲ, ἰσχύϊ καὶ ἀθενείᾳ.

καὶ πολυχρονιότητι· τῶν τε γὰρ φρυγανωδῶν καὶ λαχανωδῶν ἔνια μονοετέλεχη, καὶ οἷον δένδρου φύσιν ἔχοντα γίνεται· καθάπερ καὶ φανερόν· τὸ γὰρ ὄνειον ὀφθὲν καὶ καλοῦσί τινες τὰ τοιαῦτα δένδρα λάχανα· τάττει λαχανώδη πάντα ἢ τὰ θλειόμενα ὅταν ἐγκαταμείνῃ, λαμβάνει τινὰς ὥσπερ ἀκρέμονας, καὶ ἵνεται τὸ ὅλον ἐν σχήματι δένδρου, θλιβὼ ὀλιγοχρονιώτερα, διὰ δὴ ταῦτα ὥσπερ εἴρηται, ἀκαίρειον λογιστέον τῷ ὄρῳ, ἀλλὰ τῷ τύπῳ λητέον τοὺς ἀφορισμούς, ἐπεὶ καὶ τὰς διαιρέσεις ὁμοίως· οἷον, ἡμέρων, ἀγρίων, καρποφόρων, ἀκάρπων· ἀνθοφόρων· ἀνανθῶν· ἀειφύλλων, φυλλοβόλων· τὰ μὲν γὰρ ἄγρια καὶ ἥμερα παρὰ τὸ ἀγωστὴν εἶναι δοκεῖ· τῶν γὰρ ἀγρίων καὶ ἡμέρων φασὶν ἴσως γίνεσθαι· τυγχάνουν καὶ μὴ τυγχάνουν θρεπείας· ἄκαρπα δὲ καὶ κάρπιμα, καὶ καρποφόρα ἄνθη παρὰ τοὺς τόπους ἢ τὸν ἀέρα τὸν περιέχοντα· τὸν αὐτὸν δὲ τρόπον καὶ φυλλοβόλα, καὶ ἀείφυλλα· περὶ γὰρ ἐλεφαντίνην, οὐ δὲ τὰς ἀμπέλους οὐδὲ τὰς συκᾶς φασὶ φυλλοβολεῖν· ἀλλ' ὅμως τοῖς αὐτοῖς αἰρετέον· ἔχει γάρ τι φύσεως κοινὸν, ὁμοίως ἐν δένδροις καὶ θάμνοις καὶ τοῖς φρυγανικοῖς καὶ ποώδεσιν· ὑπὲρ ὧν καὶ τὰς αἰτίας ὅταν τις λέγῃ περὶ πάντων κοινῇ δηλονότι λεκτέον, οὐχ ὁρίζοντα καθ' ἕκαστον· ὅλως γὰρ δὴ καὶ ταύτας κοινὰς εἶναι πάντων· ἅμα δὲ φαίνεταί τι καὶ ἔχειν φυσικὴν διαφορὰν εὐθὺς ἐπὶ τῶν ἀγρίων καὶ τῶν ἡμέρων, εἴ περ ἔνια μὴ δύναται ζῆν, ὡς περ λαχανώδη μὴ δὲ λως δέχεται θρεπείαν· ἀλλὰ καὶ χέρσῳ γίνεται· καθάπερ ἐλάτη· πεύκη· λάρος, καὶ ἁπλῶς ὅσα ψυχροὺς τόπους φιλεῖ καὶ χιονώδεις· ὡσαύτως δὲ καὶ τῶν φρυγανικῶν καὶ ποωδῶν· οἷον κάππαρις καὶ θέρμος· ἥμερον δὲ καὶ ἄγριον δένδρον καλεῖν, οὐ διαφέρον τι πρός τι ταῦτα καὶ ὅλως πρὸς τὸ ἡμερῶσθαι τὸν· ὁ δὲ ἄνθρωπος, ἢ μόνον ἥμερον ἢ μάλιστα ἥμερον.

φανερὰ

φαίνεται δὲ καὶ τὰ τοιαῦτα τὰς μορφὰς αἱ διαφοραὶ τῶν ὅλων τε καὶ μορίων, οἷον λέγω, μέγεθος, καὶ σμικρότης· σκληρότης· μαλακότης, λειότης, ξηρότης φλοιοῦ, φύλλων, τῶν ἄλλων ἁπλῶς, ὡς μορφία, καὶ δυσμορφία τις· ἔτι δὲ καὶ καλλικαρπία, καὶ κακοκαρπία· πλείω μὲν γὰρ δοκεῖ τὰ ἄγρια φέρειν· ὥσπερ ἀχράς· κότινος καλλίω δὲ τὰ ἥμερα· πλὴν χυλοὺς δι' αὐτοὺς γλυκυτέρους καὶ ἡδίους, καὶ τὸ ὅλον ὡς εἰπεῖν ὠφελίμους· μᾶλλον αὐτοφυῆ δὴ φύσει καὶ τιμιώτερα εἴρηται διαφοραὶ, καὶ ἔτι δὴ μᾶλλον, τῶν ἀκάρπων καὶ καρποφόρων, καὶ φυλλοβόλων καὶ ἀειφύλλων· καὶ ὅσα ἄλλα τοιαῦτα· πάντων δὲ λεπτότερον ἀεὶ καὶ πυκνότερον τοῖς τόποις· οὐ γὰρ οὐδ' οἷόν τε ἴσως ἄλλως· αἱ δὲ τοιαῦται δόξαιεν ἂν χωρισμόν τινα ποιεῖν χωρισμὸν· οἷον ἐνύδρων καὶ χερσαίων· ὥσπερ ἐπὶ τῶν ζώων· ὅτι γὰρ ἔνια τῶν φυτῶν, ἃ οὐ δύναται μὴ ἐν ὑγρῷ ζῆν· διήρηται δ' ἄλλα κατ' ἄλλο γένος τῶν ὑγρῶν, ὥστε τὰ μὲν, ἐν τέλμασι, τὰ δὲ, ἐν λίμναις· τὰ δ' ἐν ποταμοῖς, τὰ δὲ, καὶ ἐν αὐτῇ τῇ θαλάττῃ φύεσθαι· τὰ μὲν ἐλάττω· καὶ ἐν τῇ παραλίμνῃ· τὰ δὲ μείζω, περὶ τὴν ἐρυθράν· ἔνια δὲ, ὅσα περὶ καθυγρὰ καὶ ἕλεια· καθάπερ ἰτέα καὶ πλάτανος· τὰ δὲ οὐκ ἐν ὕδατι δυνάμενα ζῆν ἐν τούτοις, ἀλλὰ διώκοντα τοὺς ξηροὺς τόπους· τῶν δ' ἐλαττόνων, ὅτι μὲν καὶ τοὺς αἰγιαλούς· οὐ μὴν ἀλλὰ καὶ τούτων ἔστιν ἁλιβολογεῖσθαι θέλει, τὰ μὲν, ἂν ὕρη κοιμᾶται καὶ ὥσπερ ἀμφίκια, καθάπερ μυρρίνην, ἴτεαν, κλῆθραν· τὰ δὲ καὶ τῶν ὁμολογουμένων χερσαίων πεφυκότα ἐστὶ ἐν τῇ θαλάττῃ βιοῦν· φοίνικας· σκίλλας, ἀνθέρικον· ἀλλὰ ταῦτα τοιαῦτα πάντα, καὶ ὅλως τὸ οὕτω σκοπεῖν, οὐκ οἰκείως ἐστὶ σκοπεῖν· οὐ δὲ γὰρ οὐδ' ἡ φύσις οὕτως οὐδ' ἐν τοῖς τοιούτοις ἔχει τὸ ἀναγκαῖον· τὰς μὲν οὖν διαιρέσεις καὶ ὅλως

τὴν ἰσορίαν τῶν φυτῶν οὕτω λεπτέον, ἅπαντα δ' οὖν καὶ
παῦτα καὶ τἆλλα διοίσει καθάπερ εἴρηται, τῷ τι τῶν ἄλ-
λων μορφαῖς καὶ ταῖς τῶν μορίων διαφοραῖς· ἢ τῷ ἔχειν· τὰ γὰρ
μὴ ἔχειν, ἢ τῷ πλείω, τὰ δὲ ἐλάττω, ἢ ὅλως ἀνομοίως· ἢ ὅσοι τό
ποι διήρηνται πρότερον· οἰκεῖον δὲ ἴσως καὶ τοὺς τόπους συμ-
παραλαμβάνειν, ἐν οἷς ἕκαστα φύεται ἢ μὴ φύεται μᾶλ-
λον· μεγάλην γὰρ καὶ αὕτη διαφορὰ, καὶ οὐχ ἧκιστα οἰκεῖα τῶν
φυτῶν, διὰ τὴν σωτηρίαν τὴν γῆ καὶ μὴ ἀπολλύσθαι κα-
θάπερ τὰ ζῷα· πειρατέον δ' εἰπεῖν τοῦτο καὶ τὰ μέρη διαφο-
ρὰς ἢ καθόλου λέγομεν πρῶτον καὶ κοινῶς, εἶτα καθ' ἕκα-
στον ὕστερον ἐπὶ πλεῖον ὡς πρὸς ἀναθεωροῦντας· ἔστι δὲ τὰ μὲν ὀρ
θόφυη καὶ μακροστέλεχη· καθάπερ ἐλάτη· πεύκη· κυπάρισ
σος· τὰ δὲ σκολιόπτερα καὶ βραχυστέλεχη· οἷον ἰτέα· συκῆ,
ῥοιά, καὶ κατὰ πάχος δὲ καὶ λεπτότητα ὁμοίως· καὶ πάλιν
τὰ μὲν, μονοστέλεχη· τὰ δὲ, πολυστέλεχη, τοῦτο δὲ αὐτὸ πρόσθον
τινὰ ἔχει τῷ παραβλαστεῖν καὶ ἢ ἀπαραβλαστεῖν εἶναι, καὶ πο-
λυκλαδῆ καὶ ὀλιγόκλαδα· καθάπερ ἡ φοῖνιξ· καὶ ἐν αὐτοῖς
τούτοις, ἔτι καὶ τὰ τῷ ἰσχὺν ἢ πάχος ἢ τὰς τοιαύτας διαφο
ρὰς· πάλιν τὰ μὲν, λεπτόφλοια, καθάπερ δάφνη, φίλυρα,
τὰ δὲ, παχύφλοια, καθάπερ δρῦς· ἔτι τὰ μὲν, λεπτόφλοια· κα-
θάπερ μηλέα, συκῆ· τὰ δὲ παχύφλοια· καθάπερ ἀγρία δρῦς
φελλῶδες· φοῖνιξ· ταῦτα δὲ, μέσα μὲν ὄντα λεπτοφλοιότητα, ἀπο
τομὴν ἔχουσι δὲ, παχυφλοιότητα, ἔνια δὲ καὶ ῥιζόφλοια· κα
θάπερ ἄμπελος· τὰ δὲ, καὶ ὡς περιπίπτειν οἷον αἰθρήχνη·
μηλέα, κόμαρος· ὅτι δὲ καὶ τῶν μὲν, σαρκώδης ὁ φλοιός· οἷ-
ον φελλοῦ δρυός· ἀγγείου· τῶν δὲ, ἰνώδης καὶ ἄσαρκος· ὁμοί-
ως δὲ δρυὸς· καὶ θαμνῶν· καὶ ἐπιτείων· οἷον, ἀμπέλου· κα-
λάμου· πυροῦ· καὶ τῶν μὲν πολύλοπος· οἷον φιλλύρας·
ἐλάτης· ἀμπέλου· λινοσαράτου· προμμύων· τῶν δὲ

μονόλοπος

δὲ μονόλοπος, οἷον συκῆς, καὶ λάμου· αἴρασι, καὶ τὰ μὲν δὴ ἰνία φλοιοὺς, ἐν τούτοις αἱ διαφοραὶ, τῶν δὲ ξύλων αὐτῶν ἔνια τῶν καυλῶν, οἱ μὲν εἰσὶ σαρκώδεις· οἷον δρυὸς συκῆς, καὶ τῶν ἐλατίνων· βάλανος τὸ τύλος· χωρίς, οἱ δὲ ἄσαρκοι· καθάπερ ἔρεβινθος· λωτοῦ κυπαιρίττου· καὶ οἱ μὲν, ἰνώδεις· τὰ μὲν γὰρ φλοιὸς ἐλάτης καὶ τὸ φοίνικος ξύλα τοιαῦτα, τὰ δὲ μανὰ, καθάπερ φλὶ συκῆς· ὡσαύτως δὲ καὶ τὰ μὲν φλεβώδη, τὰ δ' ἄφλεβα, περὶ δὲ τὸ φρυγανικὰ καὶ θαμνώδη καὶ ὅλως τὰ κλήματα· καὶ ἄλλας τὰς ἂν λάβοι διαφορὰς· ὁ μὲν γὰρ κάλαμος, γόνατα τῶδες· ὁ δὲ βάτος καὶ ὁ παλίουρος, ἀκανθώδη· ἡ δὲ τίφη καὶ ἔνια τῶν ἐλείων ἢ λιμναίων ὁμοίως ἀδιάφορα καὶ τὴν ὁμαλῆ καθάπερ χοῖνος· ὁ δὲ τοῦ κυπείρου καὶ βούτομος καυλὸς ὁμαλότητά τινα ἔχει παρὰ τούτοις· ἔτι δὲ μᾶλλον ἴσως ὁ τοῦ μύκητος· αὖ τοιαῦτα μὲν δὴ δόξαιεν ἂν ἐξ ὧν ἡ σύνθεσις· ἡ δὲ καὶ τὰ πάθη καὶ τὰς δυνάμεις, οἷον σκληρότης, γλιχρότης, κραυρότης, μανότης, κουφότης· βαρύτης, καὶ ὅσα ἄλλα τοιαῦτα· ἡ μὲν γὰρ ἰτέα καὶ λωτὸς· ὠθεῖ, κοῦφον· ὡσαύτως ὁ φελλὸς, ἡ δὲ πεύξος καὶ ἡ ἔβενος· οὐ δὲ ἀναπνέουσι, καὶ τὰ μὲν ἀναθέουσι καθάπερ ὁ φλὶ ἐλάτης· τὰ δὲ ἀθροίζουσι μᾶλλον· οἷον ὁ φλὶ ἐλαίας· καὶ τὰ μὲν λοξά· οἷον τὰ φλοιὰ ἀκτῆς· τὰ δὲ ὀξώδη οἷον τὰ τῆς πτύκνος καὶ ἐλάτης· δεῖ δὲ καὶ τὰς τοιαύτας ὑπολαμβάνειν τῆς φύσεως· ὄχλος μὲν γὰρ ἡ ἐλάτη τοῖς ὀθυποροῦσιν· ἀθροίζουσι δὲ ἡ ἐλαία· διὰ τὸ σκολιὸν καὶ σκληρὸν ὡς καμπὴ δὲ, ἡ φύλλα· καὶ ὅσα ἄλλα· διὰ τὸ γλίχρον ἔχειν τὴν ὑγρότητα· βαρὺ δὲ, ἡ μὲν πεύξος καὶ ἡ ἔβενος ὅτι πυκνά· ἡ δὲ δρῦς ὅτι πῶλες ὡσαύτως δὲ καὶ τὰ αὖ λα πρὸς τὴν φύσιν πῶς ἀναπνέοντα διαφέρουσιν ἢ τῆς μήκους· πρῶτον μὲν εἰ ἔρια ἔχει ἢ μὴ ἔχει· καθάπερ τινές φασιν ἄλλο τινὴ τὴν ἀκτὴν· ἐπεὶ καὶ τὰ ἐν αὐτῇ ἔχουσι, τὰ μὲν γὰρ ἔχουσι σαρκώδη· τῶν δὲ ξυλώδη

τῶν δὲ ὑμενώδης. σαρκώδης μὲν, οἷον ἀμπέλου. σικῆς, μηλέας, ῥοιᾶς, ἀκροδρυός. ξυλώδης δ', φοίνικος. ἔνιοι δὲ καὶ τὴν ἐλάτης, πεύκης, καὶ μᾶλλον αὐτὴν διὰ τὸ ἔνδακτος εἶναι. φύτων δ' ἔτι σκληρότεραι καὶ πυκνότεραι, κραμίας, πρίνου. δρυὸς, κυπάρου, συκαμίνου. ἐβένου, λωτοῦ. διαφέρουσι δ' οὐ πανταχοῦ τοῖς χώμασι. μέλαιναι δὲ καὶ πᾶσαι, ἐκτὸς δρυός. ἣν καλοῦσι μελάνδρυον. ἔτι πασῶν σκληρότεραι τῶν ξύλων, διὸ καὶ ὑπερμήκεσι καμπτῶν, μανότεραι δὲ αἱ μὲν, αἱ δ' οὔ. ὑμενώδεις δ', ἐν μὲν τοῖς δένδροις ἀκρόδρυα, ἢ σαρκώδη, ἐν δὲ τοῖς θαμνώδεσι καὶ ὅλως τοῖς ὑλήμασιν, οἷον καλάμῳ τε καὶ νάρθηκι, καὶ τοῖς τοιούτοις εἰσίν. ἔχει δὲ τὸν μήκαν. τὰ μὲν μεγάλωνα φανερόν. ὡς πρῖνος. δρῦς ἐκτὸς τὰ ἄλλα τὰ προφημνώδη, τὰ δὲ, ἀφανεστέραν, οἷον, ἐλαία, πύξος. οὐ γὰρ ῥᾴδιον ἀφωρισμένως οὕτω λαβεῖν. ἀλλὰ μᾶλλον φασίτινες ἀκρόδρυα κατὰ τὸ μέσον, ἀλλὰ κατὰ τὸ πᾶν ἔχειν ὥστε μὴ εἶναι πόρον ὡρισμένον. διὸ καὶ ἔνια οὐδ' ἂν δύξειεν ὅλως ἔχειν ἐπεὶ καὶ τοῦ φοίνικος οὐδεμία φαίνεται διαφορὰ κατ' οὐδέν. διαφέρουσι δὲ καὶ ταῖς ῥίζαις τὰ μὲν γὰρ, πολύρριζα καὶ ἀκρόρριζα καθάπερ σικῆ. δρῦς. πλάτανος. ἐὰν γὰρ ἔχωσι τόπον. ἐφ' ὅσον ἂν προέρχονται. τὰ δὲ ὀλιγόρριζα, καθάπερ ἐλάτη, ῥοιὰ, μηλέα. τὰ δὲ μονόρριζα, καθάπερ ἐλάτη, πεύκη. μονόρριζα οὕτως, ὅτι μίαν μεγάλην εἰς κάτω ἔχει. μικρὰς δὲ ἀπὸ ταύτης πλείους. ἔχουσι δὲ καὶ τῶν μονορρίζων ἔνιαι τὴν ἐκ τοῦ μέσου μεγίστην καὶ κατὰ βάθους. ὥσπερ ἀμυγδαλαί. ἐλάα. μικραὶ ταύτην, πλὴν τῆς ἄλλας μείζους καὶ ὡς κεκαρκινωμένας. ἔτι δὲ τῶν μὲν πεχεῖαι μᾶλλον, τῶν δὲ ἀραιαλεῖς, καθάπερ δάφνης. ἐλαίας. τῶν δὲ πᾶσαι λεπταί. καθάπερ ἀμπέλου. διαφέρουσι δὲ καὶ λειότητι καὶ τραχύτητι. καὶ πυκνότητι. πάντων γὰρ αἱ ῥίζαι μανώτεραι τῶν ἄνω. πυκνότεραι δὲ ἄλλαι ἄλλων καὶ ξυλωδέστεραι, καὶ αἱ μὲν, ἰνώδεις. ὡς αἱ τῆς ἐλάτης. αἱ δὲ σαρκώδεις

μᾶλλον

μᾶλλον ὥσπερ αἱ φλ δρυῶδ, αἱ δ' οἷον ὀζώδ ἢς καὶ θυσα-
νώδ ἢς, ὥσπερ αἱ φλ ἐλαίας τοῦτο δέ, ὅτι τὰς λεπ ἀς καὶ μι-
κρὰς πρμὰς ἔχουσιν ἀθρόας· ἐπεὶ πᾶσαι γε καὶ ταύτας ἀπο
φύουσιν ἀπὸ τῶν μεγάλων· ἀλλ' οὐχ ὁμοίως ἀθρόας καὶ πολ-
λάς, ὅθι δὲ καὶ τὰ μὴ βαθύρριζα, καθάπερ δρῦς· τὰ δὲ πο-
λυόρριζα, καθάπερ ἐλαία, ἔοικε μηλέα καὶ συκῆ μάλιστα, ἐπεὶ δ'
αἱ μὲν εὐθεῖαι καὶ ὁ μαλεῖς, αἱ δὲ σκωλιαὶ ἢ παραλλάττουσι·
τοῦτο γὰρ οὐ μόνον συμβαίνει διὰ τοὺς τόπους, τῷ μὴ εὐοδεῖν
ἀλλὰ καὶ φλ φύσει ωσαύτ ἢ ὄντ, ὥσπερ ἐπὶ φλ δάφνης καὶ φλ
ἐλαίας· ἡ δὲ σικῆ τὰ τοιαῦτα σκληροῦται, διὰ τὸ μὴ εὐοδεῖν·
ἅπασαι δ' ἔμμετροι, καθάπ ἢ τὰ στελέχ ἢ οἱ ἀκρέμονες, ἢ
ὕλογον ἀπὸ φλ ἀρχῆς· εἰσὶ δὲ ἢ αἱ μὲν, παραβλαστοῦσι καὶ εἰς τὸ
ἄνω, καθάπερ ἄμπελ, ῥόα· αἱ δὲ παρέβλαστοι, καθάπερ
ἐλάτης, καὶ παρίπου, πεύκης· αἱ αὐταὶ δὲ διαφοραὶ ἢ τῶν
φρυγανώδ, καὶ τῶν πωδῶν, ἢ τῶν ἄλλων, πλὴν εἰ ὁλοσέρικα
μὴ ἔχει, καθάπερ ὕδνον, μύκης, σύξ· κρόμμυον, τὰ μὲν πο-
λύρριζα, καθάπερ πυρ, τίφη· κεφαλή, σὰν τὸ τοιοῦτον, κα-
θάπερ εἰκαζούσας· τὰ δ' ὀλιγόρριζα, καθάπερ τὰ χερσοπό-
δεα δὲ καὶ τῶν λαχανωδῶν τὰ πλεῖστα μονόρριζα· οἷον σά-
φανος, τῦτλον· σέλινον· λάπαθος· πλὴν ἐνίων καὶ ἐπιφυά-
δεσ ἔχει μεγάλας· οἷον τὸ σέλινον· τὸ τεῦτλον· καὶ ὡς αὐτὰ
τὰ λόγου τοῦ ταβαθυρριζότερα τῶν δένδρων· εἰσὶ δὲ τῶν μὲν
σαρκώδ ἢς, καθάπερ ῥαφανίδος, ἀγγυλίδος· ἄρου· κρόκου
τῶν δὲ, ξυλώδ ἢσι, οἷον βύζώμου, ὠκίμου, καὶ τῶν ἀγρίων δὲ
τῶν πλείστων ὅσα μὴ εὐθὺς πλέουσι· καὶ χιζόμενα, καθάπερ
πυροῦ· κεφαλῆς· καὶ φλ καλουμένης πόας· αὕτη γὰρ ἐν τοῖς ἐ
πετείοις καὶ ἐν τοῖς πωώδεσιν ἡ διαφορὰ τῶν ῥιζῶν· ὡς τὰς
μὲν εὐθὺς χίζεσθαι πλείους ὅσας ὁ μαλεῖς· τῶν ἢ ἄλλων μίαν
ἢ δύο τ' μείσας ἢ ἕξ ἀπὸ τούτ· ὁλοσ ἢ πλείους αἱ διαφοραὶ
τ' ῥιζῶν ἐν τοῖς ὑλήμασι λαχανώδεσιν· εἰσὶ γὰρ αἱ μὲν, λάχα

νώδης· ὥσπερ αἱ τοῦ ὠκίμου, αἱ δὲ σαρκώδης, ὥσπερ αἱ τοῦ τύλου· καὶ ἔτι δὴ μᾶλλον τοῦ ἄρουλα ἀσφοδέλου, καὶ κρόκου, αἱ δὲ ὥσπερ ἐκ φλοιοῦ ἢ σαρκός· ὥσπερ αἱ τῶν ξαφανίδων καὶ γογγυλίδων· αἱ δὲ, γναστώδης· ὥσπερ αἱ τῶν καλάμων ἢ ἀγρώστεων· ἢ εἴ τι καλαμώδες· ἢ μόναι δὴ αὗται ἢ μάλιστ' ὅμοιαι τοῖς ὑπὲρ γῆς· ὥσπερ γὰρ κάλαμοί εἰσιν ἐρριζωμένοι τοῖς λεπτοῖς· αἱ δὲ, λεπυρώδης ἢ φλοιώδης· οἷον ὅτι φλοιὸς σκύλλης καὶ τοῦ βολβοῦ ἢ ἔτι κρομμύου καὶ τῶν τούτοις ὁμοίων· ἀεὶ γὰρ ὄζει τις ἐξαιρεῖν αὐτῶν· ὥστε τὰ δὲ τὰ τοιαῦτα δοκεῖ καθάπερ δύο γένη ἐν ἑνὶ ζῶν ἔχειν· τοῖς δὲ, καὶ ὅλως τὰ κεφαλοβαρῆ· καὶ καταρριζα· τὰ τοιαῦτα σαρκώδη ταύτῃ ἢ φλοιώδη, καθάπερ ἡ σκύλλα, ἢ φλοιὸς ἀπὸ ταύτης ἀπεφυκυίας, οὐ γὰρ λεπτότητα παχύτητι ἀφέρουσι μόνον· ὥσπερ αἱ τῶν δένδρων καὶ τῶν λαχάνων· ἀλλὰ λεῖον ἔχοντες τὸ εἶδος, ἐλαφρὰ ἔτη δ' ἤδη ἅττ' ἄρουλα καὶ ἡ τοῦ κυπείρου· ἡ μὲν γὰρ παχεῖα καὶ λεία καὶ σαρκώδης· ἡ δὲ λεπτὴ ἢ ἰνώδης· διὸ πορρωτέρω αὐτῆς εἰ ἐξαίρεις τὸ τοιοῦτον θετέον· ἡ μὲν γὰρ κατὰ τῆς δόξης αὖ· ἡδὺ πεφυκυῖα τίως ἔχουσα ταῖς ἄλλαις, οὐκ αὖ δόξειεν· ἡ μὲν ῥίζα λεπτοτέρα, πρὸς τὸ πόρρω· καὶ ἀεὶ σιωπόξυς· αἱ δὲ τῶν σκυλλῶν, καὶ τῶν βολβῶν· καὶ τῶν ἄρων ἁμάρτανα λίν· ἔτι δ' αἱ μὲν ἄλλαι κατὰ τὸ πλάτος ἀφιᾶσι ῥίζας· αἱ δὲ τῶν σκύλλων καὶ τῶν βολβῶν οὐκ ἀφιᾶσιν· οὐ δὲ τῶν σκορόδων καὶ τῶν κρομύων· ὅλως δ' ἔστιν ἐν ἁπάντεσι καὶ κατὰ μέσον ἐκ φλ κεφαλῆς ἀρτημένας φαίνονται ῥίζας ἔχ φοντας, τοῦτο δ' ὥσπερ κύμα ἢ καρπός· ὅθεν καὶ οἱ ἔντερα ὀνομάζουσιν· ἀλλέγοντες οὐ κακῶς· ὧν δὲ τῶν ἄλλων τοῦτο μὴ ὄζειν· ἐπεὶ δὲ πλεῖον ἡ φύσις ἢ κατὰ ῥίζαν, ταύτην ἀπορίαν ἔχ· τὸ δὴ πᾶν λέγειν τὸ κατὰ τὴν ῥίζαν, οὐκ ὀρθόν· καὶ ἢ ἀν ἄκαυλος τῶν βολβῶν ἢ ὁ τῶν γηθύων· ἢ ὅλως ὅσα κατὰ βάθος ὄζειν εἴωσαν αἱ ῥίζαι ἔχ· τὸ ὕδωρ ἢ, ὃ καλοῦσί τινες ἀχλύν· ἢ τὸ ἔτος ἢ ἔτι ἄλλου πόλεμόν ὄζειν· ὧν δὲ μὴ ὄζειν ῥίζαι· δυνάμει δὲ δεῖ φύσει

ἢ διαιρεῖν

κῆ διαιρεῖται οὐτόπω· τέχαδέτου τομὴ ὀρθῶς λέγεται· εἶζα δ'
οὐδέν ἐστιν· αἰεὶ δὲ διαφορά τις αὔξη τῶν εἰζῶν· ὥστε τὴν μὲν
τινα, τοσαύτην εἶναι· τὴν δ' ἑτέραν ὑπὲρ ἑτέρας· καίτοι καὶ αὐταὶ καὶ αὗται αἰσαρκώδεσι ἐοίκασιν ἕλκειν· τὰς δὲ τῶν ἀέρων πρὸς τὸ βλαστάνειν τρέφουσι· καὶ πίνουσι μείζους κωλύουσι μᾶλλον διατεῖναι πρὸς τὴν βλάστησιν· ἐπεὶ ὅτι γε τούτων τῶν τοιούτων ἡ φύσις ἐστὶ τὸ κάτω μᾶλλον ἕλκειν, φανερόν· οἱ μὲν γὰρ καυλοὶ, καὶ ὅλως τὰ ἄνω, βραχέα καὶ ἀσθενῆ· τὰ δὲ κάτω καὶ τῷ μεγέθει καὶ πολλὰ καὶ ἰσχυρά· οὐ μόνον δὲ τῶν ἐρημούντων, ἀλλὰ καὶ τῶν καλλιουμένων ἀγρώστιδος· καὶ ὅλως ὅσα καλαμώδη ἢ τούτοις ὅμοια· καὶ ὅσα δὲ μαρθηκώδη· καὶ τούτων εἶζαι μεγάλαι καὶ σαρκώδεις· πολλὰ δὲ καὶ τῶν πόδων ἔχει τοιαύτας εἶζας· οἷον, ἀσάλαξ· κρόκος γὰρ τὸ περδίκιον καλοῦμεν· καὶ γὰρ τοῦτο βραχέας τινὰς καὶ ὀλεθρίους ἔχει τὰς εἶζας· ἡ φύλλα· καλεῖται δὲ περδίκιον, διὰ τὸ τοὺς πέρδικας ἐγκυλίεσθαι ὀρύττοντας· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἰὼ καλοῦμέν τινα· τὰ μὲν φύλλα, μεγάλα· λοβλαστὸς αὐτοῦ, βραχύς· ἡ δὲ εἶζα, μακρά· ἔστι δὲ ὡς καὶ ῥηκαρπής· διαφέρει τινὰ καὶ ἐαθίεται· ἡ συμίστοισι δὲ ὁ τοῦ ὀρταμὸς ἀπὸ τῆς σέφου τὴν βῶλον· φανερώτατα δὲ ὀλεθρίζην ἔχουσα πρὸς τὰ αὐξανόμενα· τὸ δὲ λωτὸν καὶ τὴν μαλόδρειν· ἀμφότερα γὰρ τούτων καὶ ἀσάρκων τὰ τοιούτων τῶν εἶζαι μᾶλλον ἡ φύσις· ταῦτα μὲν οὖν ταύτη λεπτέα· εἰσὶ δὲ τῶν εἰζῶν, πλείω δόξαν ἂν ἔχειν διαφορὰς παρὰ τὰς εἰρημένας· οἷον αἵτε, τῆς ἀραχίδνης, καὶ τὸ ὁμοίου τῷ ἀράκῳ· φέρουσι γὰρ ἀμφότεραι καρπὸν, οὐκ ἐλάττω τοῦ ἄνω· καὶ μίαν μὲν εἶζαν τὸ σαρκῶδες τοῦτο ἔχει τὴν κατὰ βάθους· τὰς δὲ ἄλλας ἐφ' ὧν ὁ καρπὸς, λεπτοτέρας καὶ ἐπιπόλαιον, λιχνομύσας πολλαχῆ· φιλεῖ δὲ μάλιστα χωρία τὰ ὕφαλμα· φύλλον δὲ ὃ δέ τι προέχει τούτων, ὅ δ' ὅμοιον τοῖς φύλλοις· ἀλλ' ὡς περὶ μφί-

καρπὸν μᾶλλον ὄντων· καὶ φαίνεται παντὸς μᾶλλον αἱ μὲν οὖν φύσεις καὶ αἱ δυνάμεις τοσαύτας ἔχουσι διαφοράς· αὐξάνεσθαι δὲ πάντων μὲν δοκοῦσιν αἱ εἴζαι πρότερον τῶν ἄνω· καὶ γὰρ φύεσθαι εἰς βάθος οὐδὲν μᾶλλον καθήκει πλέον, ἢ ὅσον ὄγκος ἐφικνεῖται· τὸ γὰρ θερμὸν, τὸ γόνιμον· ὁμοίως δὲ καὶ ταῦτα μεγάλα συμβάλλεται πρὸς βαθυξίζιαν· καὶ ἔτι μᾶλλον πρὸς μακροξείζιαν ἡ φλοιὸς χώρας φύσις ἐστὶν ἥκιστα φθίνει καὶ μανὴ καὶ εὔοδος· ἐν γὰρ τοῖς τοιούτοις, ῥᾳδιουργότερον καὶ μείζους αὐξήσεις· φανερὸν δὲ ἐπὶ τῶν ἁμαρτάνων· ἔχοντα γὰρ ὕδωρ, ὅπου οὖν δύσιν ὡς εἰπεῖν· εἰ δὲ καὶ ὁ τόπος ἡκιστ' ἂν δόξειε μηδὲν τὸ αὐτὸ ποιεῖν καθάπερ φρέαρ ἢ ὀχετὸς πίνος, ἢ ἐλαιουργῷ λυκείῳ ἢ πλατάνου, ἢ κατὰ τὸ ὀχετὸ ἔτι μέχρι οὗ σα περὶ τρεῖς καὶ τριάκοντα πήχεις ἀφῆκεν, ἔχουσα τόπον τοιοῦτον καὶ προφύλ· δύξειε δ' ἂν ὡς εἰπεῖν ἡ συκῆ μακροξείζοτατον εἶναι· καὶ ὅλως δὲ μᾶλλον τὰ μανὰ καὶ εὐθύρριζα· πάντα δὲ τὰ νεώτερα τῶν παλαιῶν, ἐὰν εἰς ἀκμὴν ἥκωσιν, ἔτι βαθυρριζότερα καὶ μακρορριζότερα· συμφθίνουσι γὰρ καὶ αἱ εἴζαι τῷ ἄλλῳ σώματι· πάντων δὲ ὁμοίως οἱ χυλοὶ τοῖς φυτοῖς ἀφθότεροι· τοῖς δὲ, ὡς ἐπίπαν· διὸ καὶ σύνωρα τὰ καὶ ὧν οἱ καρποὶ γλυκεῖς· αἰδὲ, καὶ φαρμακώδεις ζώιαι φυώδεις· ὥστε καὶ φθίριος· ἴδια δὲ εἴζης, φύσις καὶ δύναμις· οἷον ἡ φλοιὸς συκῆς· ἀπὸ γὰρ τῶν βλαστῶν ἀφίησι, μέχρις οὗ ἂν σωθῇ τῇ συκῇ καὶ ἐιζωθῇ· καὶ γίνεται περὶ τὸ δένδρον κύκλῳ σωρεὸς τῶν ἐιζῶν, οὐχ ἁπτόμενον τοῦ στελέχους, ἀλλὰ ἀφεστηκός· παραπλήσιον δὲ τοῦτο, μᾶλλον δὲ βόπνη τιμὰθαμασιῶτις, ἐπὶ τῆς ἐκ τῶν φύλλων ἀφίησι ἐίζαν· οἱονεὶ φασὶ περὶ ὀρῶν τε πάρεισιν εἶναι, ὃ λιάθι ἀθιάδυσιν ἡδύ· τὸ δὲ αὖ τὸ θερμὸν θαυμαστὸν ἥπιον, ὅτι αὖ ἐν ὑλῇ βαθεῖα σαπρᾷ· διαιρεῖ τὸ εἴζαν πρὸς τὴν, ὑβλαστάμῳ διὰ τὴν ἰχῦν· ἀλλὰ δὴ τὰς μὲν τῶν ἐιζῶν διαφορὰς ἐκ τούτων θεωρεῖν τὸν τῶν δένδρων· ἐπὶ τὰς τοιαύτας δὲ τῶν λαβοῦσι

φορᾶς.

φοράς. ἔστι γὰρ τὰ μὲν, ὀζώδη. τὰ δὲ ἄνοζα, καὶ φύσει καὶ τόπῳ. καὶ τὰ μὲν μᾶλλον καὶ ἧττον. ἄνοζα δὲ λέγω, οὐχ ὥστε μὴ ἔχ' ὅλως οὐδὲν ἢ τοιοῦτο δένδρου. ἀλλ' εἴπερ ἧττον ἄλλων. οἷον, χοῖνος. πίφη. κύπειρος. ὅλως εἴ τι τοιοῦτον λιμνωδῶν. ἀλλ' ὥστε ὅλίγους ἔχειν. φύσει μὲν οἷον, ἀκτή. δάφνη, συκῆ. ὅλως πάντα τὰ λαχανώδη, καὶ ὅσα κοῖλα καὶ μανά. ὀζώδεις δὲ, ἐλαία. πεύκη. κότινος. τούτων δὲ, τὰ μὲν, ἐν παλιοικίοις καὶ νηνέμοις καὶ ἐφύδροις. τὰ δὲ ἐν ὑπωρείοις καὶ χειμερίοις καὶ πυγματώδεσι καὶ λεπτοῖς, καὶ ξηροῖς. τὰ μὲν γὰρ ἀνοζώτερα. τὰ δὲ ὀζωδέστερα τῶν ὁμογενῶν. ὅλως δὲ ὀζωδέστερα τὰ ὀρεινὰ τῶν πεδινῶν, καὶ τὰ ξηρὰ τῶν ἐλείων. ἔτι δὲ καὶ τὰ τῶν φυτείαν τὰ μὲν πυκνὰ, ἄνοζα καὶ ὀρθά. τὰ δὲ μανὰ, ὀζωδέστερα καὶ σκολιώτερα. συμβαίνει γὰρ ὥς τε τὰ μὲν, ἐν παλιοικίῳ εἶναι, τὰ δὲ ἐν ὑπωρείῳ. καὶ τὰ ἄρρενα δὲ τῶν θηλέων ὀζωδέστερα, ἐνίοις ὄντα ἀμφω. οἷον, λευκάνθεμος. ἐλάτη. ὀρυΐς. κεφαλλονία. καλοῦσι γάρ τινες, θηλυκεφαλλονίαν. καὶ λάχανα ἄγρια ἢ τὰ ἡμέρων. καὶ ἁπλῶς καὶ ὑπὸ τὸ αὐτὸ γένος, οἷον κότινος ἐλαίας. ἐρινεὸς συκῆς. καὶ ἀγρίας ἡμέρου. πάντα δὲ λαῶν τὰ ὀζωδέστερα. καὶ ὡς ἐπὶ τὸ πολὺ πάντα τὰ πυκνὰ τῶν μανῶν. καὶ γὰρ τὰ ἄρρενα πυκνότερα, καὶ τὰ ἄγρια. πλὴν εἴ τι διὰ πυκνότητα πάντῃ ἀνοζον ἢ ὀλίγοζον. οἷον πύξος, λωτός. εἰσὶ δὲ τὰ μὲν, ἄλακτοι καὶ ὡς ἔτυχεν οἱ ὄζοι. τὰ δὲ, τίλλας μέν τινας ἢ τῇ διαιρέσει τι ἢ τῷ πλήθει, καθάπερ εἴρηται. διὸ καὶ ἀξιολογοῦσί τινες λαῶν καλοῦσι. τῶν μὲν γὰρ οἷον δίσσον. τῶν δὲ μεῖζον ἀεὶ τὸ πρὸς τῷ ἄνω καὶ τοῦτο καὶ λόπαν ὥσπερ μάλισται ἐμφανὲς καὶ ἐν τοῖς κοτίνοις καὶ ἐν τοῖς καλάμοις. τὸ δὲ γόνυ καθάπερ ὄζος. καὶ οἱ μὲν, καὶ ἀλλήλοις, ὥσπερ οἱ τῶν κοτίνων. οἱ δὲ ὡς ἔτυχε. ἔστι δὲ λαὶ μὲν δύο ἄκρα λαὶ δὲ, τρία ἄκρα λαὶ δὲ πλείους ἔχοντα. ἔνια δὲ πεντάζοντα καὶ τῆς μὲν ἐλάττης ὀρθοὶ καὶ οἱ ὄζοι καὶ οἱ κλάδοι ὥσπερ ἐμπεπηγότες. τῆς δὲ αἰγώνου, ἔτι δὲ νῦν ἰσχνόταται καὶ ἐλάττη. διὸ καὶ τοιοῦτοι οἱ φλιμλέκες. ὅμοιοι θηρίων προσώπεις. εἰσὶ μὲν ὁμέσπερος. αἰγὶ δὲ

περὶ αὐτὸν μικροὶ πλέθρου· εἰσὶ δὲ τῶν ὄζων οἱ μὲν τυφλοὶ οἱ δὲ γόνιμοι· λέγω δὲ τυφλοὺς, ἀφ' ὧν μηδὲν βλαστάνει· οὗτοι δὲ ἢ τῇ φύσει καὶ πηρώσει γίνονται· ἢ ὅταν ἢ μὴ λυθῇ καὶ ἐκβιάζηται καὶ ἡ ἀπόκοπῇ ἢ οἷον ἐπικαυθείσῃ πηρωθῇ· γίνονται δὲ μᾶλλον ἐν τοῖς παχέσι τῶν ἀκρεμόνων· ἐνίων δὲ καὶ ἐν τοῖς σελέχεσιν· ὅλως δὲ ἢ τοῦ σελέχους ἢ τοῦ κλάδου καθ' αὑτὸ ἐπικόψῃ ἢ ἐπιτέμῃ τις, ὄζος γίνεται· καθάπερ αὖ εἰ διαιρῶν τὸ ξύλον καὶ πρίων ἑτέραν ἀρχήν, εἴτε δι' ἄλλο τι πηρώσειν, εἴτε δι' ἄλλο αἰτίαν· οὐ γὰρ δὴ κατὰ φύσιν γε ὑπὸ φλοιῶς· ἀεὶ δὲ ἐν ἅπασιν οἱ κλάδοι· φαίνονται πολυοζότεροι διὰ τὸ μήπω νεαρὰ μέσῃ προσκυζεῖσθαι καθάπερ ἡ φλοιώδης οἰνεόβλαστοι ξαχύτατοι· ἡ φλοιὸς μικτέλλα τὰ ἄκρα τῶν κλημάτων· ὡς δ' ὄζος ἐν τοῖς ἄλλοις, οὕτω καὶ ὀφθαλμὸς ἐν ἀμπέλῳ, ἢ ἐν καλάμῳ γόνυ· ἐνίοις δὲ ἢ οὐκ ἀναδίδωσι γίνονται· καθάπερ πτελέᾳ καὶ δρυὶ ἢ μάλιστα ἐν πλατάνῳ· ἐὰν δὲ ἐν παχέσι ἢ αὐθέρροις ἢ πνευματώδεσι, ἢ παντελῶς· πάντως δ' ὁ πρὸς τῇ γῇ ἢ οἷον τῇ κεφαλῇ τοῦ σελέχους ἀποσηράσκων· τῶν παχυτέρων πίνεται· ἔνια δὲ καὶ ἰχᾶ τοὺς καλουμένους ὑπό τινων, ἢ ἰσχύρους, ἢ ἀνάλογον· οἷον ἡ ἐλαία· κυλιόπετον γὰρ ἐστὶ παύτης τοὔνομα· ἐν πάχει δοκεῖ μάλιστα τὸ εἰρημένον· καλοῦσι δέ νιοι τοῦτο πρέμνον· οἱ δὲ κρότωνα· οἱ δὲ ἄλλο ὄνομα· τοῖς δὲ θύσι καὶ μονορρίζοις καὶ ἀπαραβλάστοις οὐ γίνεται τοῦθ' ὅλως, ἢ ἧττον· φοίνιξ δὲ παραβλαστικόν· ἡ δὲ ἐλαία καὶ ὁ κότινος ἐν τοῖς κοιλότησι δύας ἔχουσι τοὺς ἐν τοῖς σελέχεσιν· ἔστι μὲν οὖν τὰ μὲν εἰς μῆκος αὐξητικὰ μάλιστα μόνα, οἷον ἐλάτη· φοῖνιξ· κυπάρισσος· καὶ ὅλως τὰ μονοσελέχη· καὶ ὅσα μὴ πολύρριζα, μὴ δὲ πολύκλαδα· τὰ δὲ, ὁμοίως, τούτοις αὐαλόγως ἐν εἰς βάθος· ἔνια δὲ εὐθὺς χάζεται· οἷον, ἡ μηλέα· τὰ δὲ, πολύκλαδα· ἢ μείζω τὸν ὄγκον ἔχει τὸν ἄνω καθάπερ ξόανα· οὐ μὴν, ἀλλ' ἂν μέγιστά γε συμβαίνεται πρὸς ἕκαστον, ἡ ἀγωγὴ, καὶ ὁ τόπος, καὶ ἡ ξοφή·

σημεῖον

σημεῖον δ' ὅτι ταῦτα τὰ νικὰ μὴ ὄντα, μακρὰ καὶ λεπτὰ γίνεται· μανὰ δὲ παχύτερα καὶ βραχύτερα καὶ ἐὰν μὴ διθύς τις ἀφέλῃ τοὺς ὄρους, βραχέα· ἐὰν δὲ ἀνακαθαίρῃ, μακρά· καθάπερ ἡ ἄμπελος· ἱκανὸν δὲ καὶ κεῖνο πρὸς πίστιν, ὅτι καὶ τῶν λαχάνων ἐνία λαμβάνει δένδρου χῆμα· καθάπερ ἡ πόμμη τὴν μελάχρινα, καὶ τὸ τεῦτλον· ἅπαντα δὲ ἐν τοῖς οἰκείοις τόποις ἐξαύξει μᾶλλον τὸ αὐτὸ καὶ μίσον· ἐπεὶ καὶ τῶν ὁμογενῶν αὐξότερα καὶ μείζω καὶ καμίω τὰ ἐν τοῖς οἰκείοις· οἷον, ἐλάτη ἡ μακεδονικὴ τῆς πρηνασίας καὶ τῶν ἄλλων· ἅπαντα δὲ ταῦτα καὶ ὅλως ἡ ὕλη ἡ ἀγρία καμίων καὶ πλείων τὸ ὄρους ἐν τοῖς προσβορείοις, ἢ ἐν τοῖς πρὸς μεσημβρίαν· ἔτι δὲ τὰ μὲν ἀείφυλλα· τὰ δὲ φυλλοβόλα· τῶν μὲν ἡμέρων, ἀείφυλλα, ἐλαία· φοῖνιξ· δάφνη· μύρρινος, πεύκη τιγγύος· κυπάρισσος· τῶν δ' ἀγρίων· ἐλάτη· πεύκη· ἀρκεύθος· σμίλαξ· θυία· καὶ ἡ ἀρκαδες καλοῦσι φελόδρυα· φίλυρα· κέδρος· πίτυς· μυρίκη· πύξος· πρῖνος· ἀγρία· κήλαστρον· φιλύκη· ὀξυκάνθος· ἀφάρκη· ταῦτα δὲ φύεται περὶ τὸν ὄλυμπον· ἀνδράχνη· κόμαρος· τέρμινθος· ἀγρία· δάφνη· δοκεῖ δὴ ἀνδράχνη καὶ ὁ οἰνάρος· τὰ μὲν κάτω φυλλοβαλεῖν· τὰ δὲ ἔσχατα τῶν ἀκρεμόνων ἀεὶ φύλλα ἔχειν· ἐπιφύειν δὲ ἀεὶ τοὺς ἀκρεμονας· Τῶν μὲν οὖν δένδρων, ταῦτα· τὰ δὲ θαμνώδη, κιττός· βάτος· ἐλάμνη· κάλαμος· κισσός· ὅσα δέ τι μικρόν, οὐ δένδρου ται· τῶν δὲ φρυγανικῶν· καὶ ποωδῶν, πήγανον· ἐλάφανος· ἐσθωνιά· ἰωνιά· ἀβρότονον· ἀμάρακον· ἔρυσιμος· ὀλίγανον· σέλινον· ἵππουσέλινον· μήκων· καὶ τῶν ἀγρίων εἴδη πλείω· διαμφὶ δὲ καὶ τούτων ἐνία τοῖς ἄκροις· τὰ δὲ ἄλλα ἀποβάλλει· οἷον, ὀλίγανον· σέλινον· ἐπεὶ καὶ τὸ πήγανον κακοῦται καὶ ἀμάπτεται· πάντα δὲ καὶ τῶν ἄλλων τὰ ἀείφυλλα· στενοφυλλότερα, καὶ ἔχοντά τι μαλακότητα καὶ ὠχρότητα· ἔνια δὲ οὐκ ὄντα τῇ φύσει, παρὰ τὸν τόπον ὅτιν ἀ-

εἰφυλαί· καθάπερ ἐλέχθη περὶ τῶν ἐν ἐλεφαντίνῃ καὶ μέμφῃ κατωτέρω δ' ἔλαττα μικρὸν πάνυ χρόνον διαλείπει τοῦ μὴ ἀεὶ βλαστάνειν· ἐν κριθῇ δ' λέγεται φλάπανόν τινα εἶναι ἐν ᾗ ζωρτυμαία πρὸς σκνηπῆ τινί· ἡ δ' οὐφυλλοβολεῖ· μυθολογοῦσι δὲ ὡς ἐπὶ ταύτην ἐμίτη τῇ δύσῃ ὄζιν· τὰς δὲ φλησίον πάσας, φυλλοβολεῖν· ἐν δὲ συβάρῃ δρῦς ἄξιν δύσωπος ἐκ τῆς πόλεως, ἣ οὐ φυλλοβολεῖ· φασὶ δὲ οὐ βλαστάνειν αὐτὴν ἅμα, ταῖς ἄλλαις, ἀλλὰ μετὰ κύνα· λέγεται δὲ ἐν κύπρῳ φλάπανθ' εἶναι τοιαύτην· φυλλοβολεῖ δὲ πάντα τὸ μετοπώρου, ἐπὶ μετὸ μετόπωρον· φλὴν ἡ μὲν, θαλλοῦ· ἡ δὲ, βραδύτερον, ὥστε καὶ τοῦ χειμῶνος ἐπιλαμβάνειν· οὐκ ἀνάλογον δὲ αἱ φυλλοβολίαι ταῖς βλαστήσεσιν, ὥστε τὰ πρότερα βλαστήσαντα φυλλοβολεῖν· ἀλλ' ἔνια πρωΐ βλαστάνει μὲν, οὐδὲν ἧττον προτρεῖται τὰ ἄλλα· ἀλλὰ καὶ τιμῶν ἐστερεῖ· καθάπερ ἡ ἀμυγδάλη· τὰ δὲ, ὀψὲ βλαστεῖ μὲν· ὀδὲν δέ, ὡς εἰπεῖν ὕστερον τῶν ἄλλων· ὥσπερ ἡ συκάμινος· δοκεῖ δὲ καὶ ἡ χώρα συμβάλλεσθαι· καὶ ὁ τόπος ὁ ἔνικμος, πρὸ τοῦ διὰ μέσου· τὰ γὰρ ἐν τοῖς ξηροῖς καὶ ὅλως λιπογείοις πρότερα φυλλοβολεῖ, καὶ τὰ πρεσβύτερα δὲ τῶν νέων· ἔνια δὲ καὶ πρὸ τοῦ πεπανθῆναι τὸν καρπὸν ἀπεβάλετο τὰ φύλλα· καθάπερ αἱ ὄμπελοι συκαῖ· καὶ ἀχράδες· τὰ δ' ἄφυλλα καὶ ἀποβολὴ καὶ ἀνάθησις καὶ τὰ μέρος· οὐ γὰρ δὴ ταῦτα αἰεὶ διαμένει· ἀλλὰ τὰ μὲν, βλαστάνει· τὰ δὲ, ἀφαυαίνεται· τοῦτο δὲ περὶ ξηρὰν μάλιστα γίνεται θερινάς· εἰδέτην ὧν καὶ μετ' ἄρκτον δύν καὶ τὰ ἄλλων χώραν, ἐπισκεπτέον· καὶ τὰ μὲν περὶ τὴν φυλλοβολίαν, ὅτως ἔχει· τὰ δὲ φύλλα τῶν μὲν ἄλλων δένδρων ὁμοίως πάντων αὐτὰ ἐστὶ φύσις· τῆς δὲ λύκης, καὶ τοῦ κιττοῦ· καὶ τοῦ καλουμένου κρότωνος, ἀνόμοιος καὶ ἑτερομόρφους· τὰ μὲν γὰρ νέα, περιφερῆ· τὰ δὲ παλαιότερα, γωνοειδῆ· καὶ εἰς τοῦτο ἡ μετάστασις πάντων· τοῦ δὲ κιττοῦ ἀνάπαλιν· πέντε μὲν ὄντος, ἐπὶ γωνιώτερα πρεσβυτέρου δὲ, περιφερέστερα· μεταβαίνει δὲ καὶ ὅτος· ἴδιον δὲ καὶ τὸ τῆς ἐλαίας, καὶ τὸ τῆς συκῆς, καὶ

τῆς πτελέας, καὶ

τῇ πτελέᾳ, καὶ τῇ λεύκῃ συμβαίνον. στρέφει γὰρ δοκοῦσι τὰ ὑ-
πλια μετὰ ξοπὰς θερινάς· ἢ τούτῳ γνωρίζουσιν ὅτι γεύλω
ται τροφαί· πάντα δὲ τὰ φύλλα διαφέρει, καὶ τὰ ὑπλια καὶ τὰ
πρανῆ· καὶ τῶν μὲν ἄλλων τὰ ὑπλια πλατύτερα καὶ λεπότερα· τοὺς
γὰρ ἴνας καὶ τὰς φλέβας ἐν τοῖς πρανέσιν ἔχουσιν· ὥσπερ ἡ χεὶρ
φιλάνθρωπος λεπτοτέρα, καὶ ἧττον λεῖα· λεῖα δὲ ἢ τὰ τῶν κιττῶν·
πάντα δὴ ἃ τάσι πλεῖσαι ἐκφανῆ ἔχει τὰ ὑπλια· ἢ ταῦτα
γίνεται τῷ ἡλίῳ φανερὰ ἢ στρέφεται τὰ πολλὰ πρὸς τὸν ἥ-
λιον· διὸ καὶ οὐ ῥᾴδιον εἰπεῖν, ὁπότερον πρὸς τῷ κλωνὶ μᾶλλόν
ἐστιν· ἡ μὲν γὰρ ὑπόστασις, μᾶλλον δοκεῖ πρὶ εἶν τὸ πρανές· ἡ
δὲ φύσις οὐχ ἧττον βούλεται τὸ ὑπλιον· αἴτιον τε ἡ ἀνάκλασις
διὰ τὸν ἥλιον· ἴδοι δ' ἄν τις ὅσα πυκνὰ καὶ κατάμιλα· καθά-
περ ἡ τῶν μυρεινῶν· οἷον ταῖς δέ τινων καὶ τὴν τροφὴν τῷ ὑπλίῳ
διὰ τὸ πρανοῦς εἶναι· διὰ τὸ ἐγίκμον ἀεὶ τοῦτο καὶ χνοώ-
δες εἶναι· ἀκαλῶς λέγουσιν· ἀλλὰ τοῦτο μὲν ἴσως συμβαίνει
χωρὶς φιλίδιας φύσεως, καὶ διὰ τὸ μὴ ὁμοίως ἀλλοιοῦσθαι· ἢ ἡ
τροφὴ διὰ τῶν φλεβῶν ἢ ἰνῶν ὁμοίως· ἀμφοτέροις δὲ ἐκθατέρου
εἰς θάτερον ἂν λάβοι· μὴ ἐχόντοιν πόρους μηδὲ βάθος διῳδόν· αἴτιον
μὲν οὖν τροφῆς διὰ τίνων, ἕτερος λόγος· διαφέρουσι δὲ καὶ τὰ
φύλλα πλείοσι διαφοραῖς· τὰ μὲν γὰρ ἔστι πλατύφυλλα· κα-
θάπερ ἀμπέλου, συκῆς, πλάτανος· τὰ δὲ στενόφυλλα, καθάπερ
ἐλαίας, ῥοιᾶς· μύρρινος· τὰ δ' ὡς περ τανανόφυλλα, καθάπερ πεύ
κης, πίτυος, κέδρου· τὰ δοιὰ ὃν σαρκόφυλλα (τοῦτο δ' ὅτι σαρκώ
δεσι ἔχουσι τὸ φύλλον) οἷον κυπάρισσος· μυρίκη· μηλέα· τῶν δὲ
φρυγανικῶν, κνέωρος· ἐρείκη· τῶν πρωδῶν, ἀείζωον, πόλιον· τὸ
δὲ πρὸς τοὺς σήπτας τοὺς ἐν τοῖς ἱματίοις, ἀγαθόν· τὰ γὰρ
ὠὰ τῶν θυτλίων ἢ ἐκφαίνων ἄλλον ξόπον σαρκώδη, καὶ τὰ
πτανεινίων καλουμένων· ἐν πλάτει γὰρ καὶ ὀκ ἐνστρογγυλότητι
τὸ σαρκῶδες· τῶν θαμνωδῶν δὲ μυρίκη, σαρκῶδες τὸ φύλλον
ἔχει· ῥοιᾶς δὲ καὶ μηλέας μόφυλλα· καθάπερ ὀφοῖνικος· καὶ

ὅσα τριαῦλα. ταῦτα δὲ ὡς καθόλου εἰπεῖν ἄφυλλα. ἔστι δὲ καὶ
λαμος. ἔστι κύπειρος. ἔστι βουτόμος. ἡ δὲ ἄλλα δὲ τῶν λιμνωδῶν,
οἷον αὖλα. πάρυλα δὲ ὥσπερ ἐκδυεῖν φαίνεται, ἡ τὸ μέσον οἷον ξύ
λον. ὅθεν τοῖς ἄνθεσι μέγας πόρος ὁ μέσος. διαφέρουσι δὲ ἔστι
τοῖς ἄνθεσι. τὰ μὲν γὰρ περιφερῆ, καθάπερ τὰ τῆς ἀπίου. τὰ
δὲ, προμηκέστερα. καθάπερ τὰ τῆς μηλέας. τὰ δὲ εἰς ὀξὺ προ
ήκοντα ἔστιν ἃ συναγωνίζονται, καθάπερ τὰ τῆς σμίλακος ἡ τὰ
μὲν ὄζους ἔστιν οἷον πριονώδη. καθάπερ τὰ τῆς ἐλάτης. ἔστι τὰ τῆς
πτέριδος. τρόπον δέ τινα ἔχει καὶ ἡ τὰ φλὶ ἀμπέλου ἢ τὰ τῆς συ
κῆς. ὥσπερ αὖ εἴποι τις σκολοπώδη. ἔνια δὲ καὶ ἐνγραμὰς ἔχον
τα. καθάπερ τὰ τῆς πτελέας, καὶ τὰ τῆς ἡρακλειωτικῆς, καὶ τῆς
δρυός. τὰ δὲ ἢ ὄζαις καθίζοντα καὶ ἐκ τῶν ἄκρων καὶ ἐκ τῶν πλαγίων.
οἷον, τὰ τῆς πρίνου. τὰ τῆς δρυὸς. καὶ σμίλακος. καὶ βάτου. καὶ
παλιούρου. καὶ τούτων ἄλλων. ἀκανθώδεις δὲ ἐκ τῶν ἄκρων, καὶ τὰ
τῆς πεύκης. καὶ φοίνικος. ἢ ἐλάτης. ἔτι δὲ κέδρου. καὶ κεδρί
ας. φυλλάκανθον δ' ὅλως ἐν μὲν τοῖς ὑδροις οὐκ ὄντα οὐδέν,
ὧν ἡμεῖς ἴσμεν. ἐν δὲ τοῖς ἄλλοις ὑλήμασιν ὄντα. οἷον ἥ τε ἄκορ
να. καὶ ἡ δρυοφόνος, ἔστι δὲ ὁ ἄκανος. ἢ χεδρὸν ἅπαν τὸ τῶν ἀκανθωδῶς
μόνος. ὥσπερ γὰρ φύλλον ἔστιν ἀκανθα πᾶσιν. εἰ δὲ μὴ φύλλα
τις τοῦτο θήσει, συμβαίνοι ἂν ὅλως ἄφυλλα εἶναι. ἔνιοις δὲ ἀ
κανθαν μὲν εἶναι, φύλλον δὲ ὅλως οὐκ ἔχειν. καθάπερ ὁ ἀσπά
ραγος. πάλιν δ' ὅτι τὰ μὲν ἄμισχα, καθάπερ, τὰ τῆς συκῆς
τὰ βολβοῦ. τὰ δὲ ἔχοντα μίσχον. καὶ τὰ μὲν, μακρόν. οἷον
ἡ ἄμπελος. ἢ ὁ κισσός. τὰ δὲ βραχύν. οἷον ἐμπεφυκότα, κα
θάπερ ἐλαία. οὐχ ὥσπερ ἡ τῆς πλατάνου ἢ τῆς ἀμπέλου προ
σπεφυκυῖα μόνον. διαφορὰ δὲ, τὸ μὴ ἐκ τῶν αὐτῶν εἶναι τοῖς πρόσ
φυσιν. ἀλλὰ τοῖς μὲν πλείστοις ἐκ τῶν κλάδων. τοῖς δὲ καὶ ἐκ
τῆς ἀκρεμόνων. τῆς δρυὸς δὲ ἔστι καὶ ἐκ τοῦ στελέχους. τὰ δὲ λαχανω
δῆ τοῖς πολλοῖς εὐθὺς ἐκ τῆς ῥίζης. οἷον κρομμύου. σκόρδου. καὶ χω
ρίς. ἔτι δὲ ἀσφοδέλου. σκύλλης. βολβοῦ. ἰσατίδος. καὶ ὅλως

τῶν βολβωδῶν

τῶν βολβωδῶν· ἢ τούτων δὲ, οὐχὶ πρώτη μόνον ἐκφυσις· ἀλλὰ καὶ ὅλος ὁ καυλὸς ἄφυλλον· ἐνίων δ' ὅλαν γίνεται φύλλα εἰκός· οἷον, θελδακίνης, ὠκίμου, σελίνου, ἢ τὶ σιτηρῶν ὁμοίως· ἔχει δ' ἕνια τούτων ⸫ τὸν καυλὸν· εἰ τὰ καρθίζοντα, ὡς ἡ θελδακίνη. ⸫ τὰ φύλλα καὶ καυθῶδη πάντα· καὶ τῶν θαμνωδῶν. ⸫ ἔτι δὲ μᾶλλον οἷον, βάτος· παλίουρος· κοινὴ δὲ διαφορὰ πάντων ὁμοίως δένδρων ἢ τῶν αἰγων· ὅτι τὰ μὲν, πολύφυλλα, τὰ δ' ὀλιγόφυλλα· ὡς δ' ἐπὶ τὸ πᾶν τὰ πλατύφυλλα· τὰ ὀξύφυλλα· καθάπερ μύρσινον· τὰ δ', ἄπεπτα πως ἔτυχε· καθάπερ χιδὸν τὰ πλεῖστα τῶν ἄλλων ἰῶν· ἴδιον δὲ τὰ λαχανωδῶν· οἷον, κρομμύου, σκορόδου, τὸ κοιλόφυλλον· ἁπλῶς δ' αἱ διαφοραὶ τῶν φύλλων, ἢ μεγέθει, ἢ πλήθει, ἢ σχήματι, ἢ πλατύτητι· ἢ κοιλότητι· ἢ στερότητι· ἢ ξηρότητι· ἢ λειότητι· ἢ τῷ παρακανθίζειν· ἢ μή· ἔτι δὲ κατὰ τὴν πρόσφυσιν· ὅθεν ἢ διὰ· τὸ μὲν ὅθεν, ἀπὸ εἴζης· ἢ κλάδου· ἢ καυλοῦ· ἢ ἀκρέμονος· τὸ δὲ διὰ, ἢ διὰ μίσχου· ἢ διὰ τούτου· καὶ εἴδη πάντα ἐκ τούτων. ⸫ ἔνια καρποφορεῖ μεταξὺ πάντα τῶν φύλλων· ὥσπερ ἡ ἀλεξανδρεία δάφνη· ἐπιφυλλόκαρπος· αἱ μὲν οὖν διαφοραὶ τῶν φύλλων κοινοτέρως πᾶσιν εἴρηνται ⸫ χιδὸν δὲ ἐστιν ἐν τούτοις· σύγκειται δὲ τὸ μὲν, ὀξὺ ἰνώδους, ἢ φλοιοῦ, ἢ σαρκώδους· οἷον, τὰ τῆς συκῆς, ἢ ἀμπέλου· τὸ δὲ ὥσπερ ὀξὺ ἰνώδους μόνον· οἷον τοῦ καλάμου, ⸫ σίγου· τὸ δὲ ὑγρὸν ἐκ πάντων, κοινόν· ἅπασι γὰρ ἐνυπάρχει ⸫ τούτοις καὶ τοῖς ἄλλοις τοῖς ἐπιτετοῖς, μίσχος· ἄνθος· καρπός· ἔτι ἄλλο· μᾶλλον δὲ καὶ τοῖς μὴ ἐπιτετοῖς· οὐδὲν γὰρ ἄνευ τούτου δοκεῖ δὲ καὶ τὸ μίσχον, τὸ μὲν, ὀξὺ ἰνῶν μόνων συγκεῖσθαι· καθάπερ τὰ ὄροβα τοῦ καλάμου· τὰ δὲ, ἐκ τῶν αὐτῶν· ὥσπερ οἱ καυλοί· τὸ δὲ ἀνθῶν, τὸ μὲν, ἐκ φλοιοῦ καὶ φλεβὸς καὶ σαρκὸς μόνον· οἷον τὰ ἐν μέσῳ τῶν αἰρῶν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν σαρκωδῶν· ὁ μὲν γὰρ, ἐκ σαρκὸς καὶ ἰνός· οἱ δὲ, ἐκ σαρκὸς μόνον· οἱ δὲ, ⸫ ἐκ δέρματος σύγκεινται· τὸ δὲ ὑγρὸν ἀκολουθεῖ καὶ τούτοις· ἐκ σαρκὸς μὲν ⸫ ἰνὸς, τὸ δὲ κοκ

κυμήλων καὶ σικύων· ἐξ ὑγροῦ δὲ καὶ δέρματος, τὸ τῶν συκαμίνων καὶ φιλύρας· αἰγοὶ δὲ καὶ τὰ μου βόπυρ μεμιγμένοι· τούτων δὲ ὡς εἰπεῖν, τὸ μὲν ἔξω φλοιός· τὸ δ' ἔνδοσε σάρξ· τῶν δὲ, καὶ πυρηνώδη· ἔχατον δὲν ἅπασι τὸ σπέρμα· τοῦτο δὲ ἔχον ἐν ἑαυτῷ ὑγρὸν καὶ θερμὸν σύμφυτον· ὧν ἐκλειπόντων, ἄγονα καθάπερ τὰ ᾠά· καὶ τῶν μὲν, εὐθὺς τὸ σπέρμα μετὰ τὸ πυρηνέχον· οἷον, φοίνικος, καρύου, ἀμυγδάλης· πλείω δὲ τούτων τὰ ἐμπυρηνέχοντα, ὡς τὰ τοῦ φοίνικος· τῶν δὲ μεταξύ, σάρξ· ἢ πυρηνώδη· ὡς περ ἐλαίας, καὶ κοκκυμηλέας, καὶ ἐτέρων· ἃ ἔστι ξηρὰ λοβῷ· τὰ δὲν ὑμῷ· τὰ δὲν ἀγγείῳ· τὰ δὲ, καὶ γυμνόσπερμα, τελείως· ἢ λοβῷ μὲν οὖν μόνον τὰ ἐπίτεια· καθάπερ τὰ χέρσοπαῖ, καὶ ἕτερα πλείω τῶν ἀγρίων· ἁμαὶ δὲ τῶν δένδρων ἔνια· καθάπερ ἥ τε κερωνία (ἣν τινα καλοῦσι συκῆν αἰγυπτίαν) καὶ ἡ κικὶς, καὶ ἡ λωτοειδία περὶ λιπάραν· ἐν ὑμῷ δὲ ἔνια τῶν ἐπιτείων· ὥσπερ ὁ πυρὸς καὶ ἡ κέγχρος· ὡσαύτως δὲ καὶ ἔνια ἀγγειόσπερματα· καὶ γυμνόσπερματα· ἀπείρια σπέρματα μὲν, οἷον, ἥ τε μήκων· καὶ ὅσα μήκωνι· καὶ σήσαμον ὑδατώδη· γυμνόσπερματα δὲ, τῶν πολαχάνων πολλά· καθάπερ σίνηθον καὶ σίνησον· κύμινον· μάραθρον, καὶ ἕτερα πλείω· τῶν δὲ δένδρων οὐδὲν γυμνόσπερμον· ἀλλ' ἢ σαρκὶ περιεχόμενον ἢ δέρμασιν· τὰ μὲν, σπερματικοῖς· ὥσπερ ἡ βάλανος καὶ τὸ κοκκύμηλον· τὰ δὲ, ξυλώδεσιν· ὥσπερ ἡ ἀμυγδάλη, καὶ τὸ κάρυον· τὸ δὲν δὲ ἀγγειόσπερμον εἰ μή τις τὸν κῶνον ἄπειρον θήσει, διὰ τὸ χωρίζεσθαι τῶν καρπῶν· αὐτὰ δὲ τὰ σπέρματα, τῶν μὲν εὐθὺς σαρκώδη· καθάπερ ὅσα καρυηρὰ καὶ βαλανηρά· τῶν δὲ, ἐν πυρῆνι τὸ σαρκῶδες ἔχοντα καθάπερ ἐλαίας καὶ δαφνίδος· καὶ ἄλλων· τῶν δὲ ἐν πυρῆνι μόνον ἢ πυρηνώδει μὲν καὶ ὥσπερ ξηρά· καθάπερ τὰ κυνικώδη· καὶ κεγχραμιδώδη, οἷα λὰ τῶν λαχανηρῶν· ἐμφανέστατα δὲ τὰ τοῦ φοίνικος· οὐ δὲ

κοιλότητα

κοιλότητα ἔχει τοῦτο οὐδεμίαν· ἀλλ' ὅλον ἔξορθον· οὐμὴν ἀλ
λ' ὑγρότης δήπου καὶ θερμότης ὑπάρχει δῆλον ὅτι καὶ τούτ-
τῳ καθάπερ εἴπομεν· διαφέρουσι δὲ καὶ τῷ, τὰ μὲν, ἀθρόα,
μετ' ἄλλων εἶναι, τὰ δὲ, διεζωσται καὶ χεδόν· ὥσπερ τὰ τῆς
κολοκύντης καὶ σικύας· καὶ τῶν δένδρων· ὥσπερ συκῆς·
μηλέας· καὶ τῶν ἀθρόων· τὰ μὲν, ἑνὶ τινι περιέχεται· καθά
περ τὰ φοίνικος· καὶ τῆς ἀπίου· καὶ μηλέας· καὶ τῆς ἀμπέ
λου· καὶ συκῆς· τὰ δὲ μετ' ἄλλήλων μὲν εἶναι· μὴ περιέχεσθαι
δὲ ὑφ' ἑνὸς ὥσπερ τὰ σταφυλὴ τῶν ἐπιτείων· εἰ μή τις θείη τ'
σάκχυν ὡς περιέχον· οὕτω δ' ἔσται καὶ ὁ βότρυς· καὶ τἆλλα τὰ
βοτρυώδη· καὶ ὅσα δὴ φέρει δι' ὀπώρας καὶ χώρας ἀρετὴν ἀ-
θρόους τοὺς καρπούς· ὡς περ ἐν συρίᾳ φασὶ εἶναι τοὺς
ἐλαίας· ἀλλὰ, καὶ αὐτὴ δοκεῖ τις εἶναι διαφορά· τῷ τὰ μὲν,
ἀφ' ἑνὸς μίσχου καὶ μιᾶς προσφύσεως, ἀθρόα γίνεσθαι· καθά-
περ ἐπί τε τῶν βοτρυηρῶν καὶ σταφυλῆρων εἴρηται· μὴ περιε-
χόμενα κοινῷ τινι γίνεσθαι, τὰ δ', μὴ γίνεσθαι· ἐπεὶ καθ' ἕκαστον
γε λαμβάνουσι τῶν σπερμάτων ἢ τῶν περιεχόντων, ἰδίαν
ἀρχὴν ἔχει τῆς προσφύσεως· οἷον, ἥ τε σαρξ, καὶ ἡ ἐσία· καὶ πά
λιν ὁ πυρός, καὶ ἡ κριθή· καὶ ὁ σπυρὸς· ἥκιστα δ' ἂν δόξειεν τὰ
τῶν μήλων καὶ τὰ τῶν ἀπίων, ὅποι συμπαύσεταί τε καὶ περιεί-
ληπται· καθάπερ ὑμῖν τινὶ δερματικῷ, περὶ οὗ τὸ περι-
καρπιον· ἀλλ' ὅμως καὶ τούτων ἕκαστον, ἰδίαν ἀρχὴν ἔχει καὶ
φύσιν· φανερώτατα δὲ, τῷ κεχωρίσθαι τὰ τῆς ἐσίας· ὁ γὰρ σπυ
ρὸς εἰκάσῳ προσπέφυκεν· οὐχ ὥσπερ τῶν συνθέτων ἐδηλώσαμεν,
τὴν ὑγρότητα· καὶ γὰρ τοῦτο ἔχουσι διαφοράν, καὶ ὥσπερ ἀμ
φότερα περιέχεται σαρκώδει τινὶ, καὶ τῷ τοῦτο περιέ-
χεσθαι μετὰ τῶν ἄλλων· τὸ μὲν γὰρ, περὶ ἕκαστον ἔχει
τὴν σπερμα, τὸ σαρκῶδες τοῦτο τὸ ὑγρόν· αἱ δὲ κεγχρα-
μίδες ὥσπερ κοινόν τι σῶμα, καθάπερ καὶ τὸ γένος τοῦ
ὅσα τὸν αὐτὸν ἔχει τρόπον· αὐξάνεται δὲ διαφο-

κοιλότητα ἔχει τοῦτο οὐδεμίαν· ἀλλ' ὅσα ἔξορθον· ὁμαλῶς ἀλ-
ρὰς τὰ χάρτης λάβοι πλείους· ὧν δεῖ τὰς κυρτὰς μάλι-
σα φὴ φύσεως μὴ ἀπορεῖν· αἱ δὲ καὶ τὰ χρώματα καὶ τὰς ὅλας μορφάς· ῥᾴδιον φανεραὶ πᾶσιν ὥστε μὴ δεῖσθαι λόγου· πλὴν τοσοῦτον, ἢ ὅτι χρῶμα οὐδὲν πυρρικάρπου βαθύγραμμον, οὐ δὲ γωνίας ἔχει· τῶν δὲ χυλῶν· οἱ μὲν εἰσὶν ὑδατώδεις, ὥσπερ ἀμπέλου· συκαμίνου· μύρρυ οἱ δὲ ἐλαιώδεις· ὥσπερ ἐλαίας, δάφνης, καρύας, ἀμυγδάλης, πεύκης, πίτυος, ἐλάτης· οἱ δὲ μελιτώδεις· οἷον σύκου, φοίνικος, δρυός· βαλάνου· οἱ δὲ δριμεῖς· οἷον ὀρεινάρου, θύμβρας· καρδαμώμου· νάπυος· οἱ δὲ πικροί· ὥσπερ ἀψινθίου· κενταυρείου· διαφέρουσι δὲ καὶ ταῖς ὠδαῖς· οἷον αὐήσου· κέδρου· δρυός· ἰτέας· ἰσχνὰς δὲ ὑδατρεῖς αὖ δόξειεν· οἷον οἱ τῶν κοκκυμηλίων· οἱ δὲ ὀξεῖς ὥσπερ ξύλων· καὶ ἐνίων μήλων· ἁπάντων δὲ ἰνώδεις καὶ χονδρώδεις τοῦτο ἴδιον μήλης θετέον· ἄλλοι δὲ ἐν ἄλλοις εἴδεσιν· ὑπὲρ ὧν ἁπάντων ἀκριβέστερον ἐν τοῖς περὶ χυλῶν ἐπιστατέον· αὐτάς τε τὰς ἰδέας διαριθμουμένους ὁπόσαι· καὶ τοὺς πρὸς ἀλλήλους διαφορὰς· καὶ τίσιν ἑκάστου φύσις καὶ δύναμις· ἔχει δὲ καὶ ἡ τῶν δένδρων αὐτῶν ὑγρότης ὥσπερ ἐλέχθη διάφορα εἴδη· ἡ μὲν γὰρ ὕδατώδης· ὥσπερ ἡ τῆς συκῆς καὶ τῆς μήκωνος· ἡ δὲ, πιττώδης· οἷον, ἐλαίας, τῆς πεύκης· τῶν κωνοφόρων· ἄλλη δὲ ὑδαρίς· οἷον, ἀμπέλου· ἀπίου· μηλέας· καὶ τῶν λαχανωδῶν δὲ, οἷον σικύου, κολοκύντης, θριδακίνης· αἷς, ἤδη δεδήλωται τίνα ἔχουσι καθάπερ ἡ τοῦ θύμου· καὶ θύμβρας· αἱ δὲ καὶ ὠώδειαν· ὥσπερ αἱ τοῦ σελίνου ἀνήθου· μαράθρου· καὶ τοιούτων· ὡς δὲ καθόλου εἰπεῖν, ἅπασαι κατὰ τὴν ἰδίαν φύσιν ἑκάστου δήλου σαφῶς καθόλου εἰπεῖν φυτοῦ· πᾶν ἔχει κρᾶσιν τινὰ καὶ μίξιν ἰδίαν· εἴπερ οἰκεία δηλονότι τυγχάνει τοῖς ὑποκειμένοις καρποῖς· ὧν τοῖς μὲν συνεμφαίνει ταύτης ὁμοιότητα, ἀκακείβης· ἀδεπαφῆς· ἀλλ' οὐ τοῖς πεπτικοῖς· διὸ μᾶλλον καταπασίαν λαμβάνει πρὸς ψύξιν καθαρὰν ἢ

εἰλικρινῆ

